# Les homélies de Jean Chrysostome In principium Actorum (CPG 4371) : projet d'édition critique, traduction et commentaire

Marie-Eve Geiger

▶ To cite this version:

Marie-Eve Geiger. Les homélies de Jean Chrysostome In principium Actorum (CPG 4371) : projet d'édition critique, traduction et commentaire. Histoire. Université de Lyon, 2018. Français. NNT : 2018LYSE2001 . tel-01863878

HAL Id: tel-01863878
https://theses.hal.science/tel-01863878

Submitted on 29 Aug 2018

**HAL** is a multi-disciplinary open access archive for the deposit and dissemination of scientific research documents, whether they are published or not. The documents may come from teaching and research institutions in France or abroad, or from public or private research centers.

L'archive ouverte pluridisciplinaire **HAL**, est destinée au dépôt et à la diffusion de documents scientifiques de niveau recherche, publiés ou non, émanant des établissements d'enseignement et de recherche français ou étrangers, des laboratoires publics ou privés.

N° d'ordre NNT : 2018LYSE2001

THESE de DOCTORAT DE L'UNIVERSITÉ DE LYON

Opérée au sein de

L'UNIVERSITÉ LUMIÈRE LYON 2

**École Doctorale : ED 483 Sciences sociales**

Discipline : Mondes anciens

Soutenue publiquement le 3 février 2018, par :

Marie-Eve GEIGER

---

# Les homélies de Jean Chrysostome In principium Actorum (CPG 4371) : projet d'édition critique, traduction et commentaire

---

Devant le jury composé de :

Catherine SCHMEZER, Professeure des universités, Université Jean Moulin Lyon 3, Présidente

Brigitte MONDRAIN, Directrice d'Etudes HDR, Ecole Pratique des Hautes Etudes, Rapporteure

Peter VAN DEUN, Professeur d'université, Université Catholique de Leuven, Rapporteur

Volker Henning DRECOLL, Professeur d'université, Univesität Tübingen, Rapporteur

Jean SCHNEIDER, Professeur des universités, Université Lumière Lyon 2, Co-Directeur de thèse

Olivier MUNNICH, Professeur des universités, Université Paris 4, Co-Directeur de thèse

# Contrat de diffusion

Ce document est diffusé sous le contrat *Creative Commons* « Paternité – pas d'utilisation commerciale – pas de modification » : vous êtes libre de le reproduire, de le distribuer et de le communiquer au public à condition d'en mentionner le nom de l'auteur et de ne pas le modifier, le transformer, l'adapter ni l'utiliser à des fins commerciales.

**Université Lumière Lyon 2**

**École doctorale 483 « Sciences Sociales »**

Faculté des Lettres, Sciences du Langage et Arts
Département des Lettres

**UMR 5189 « Histoire et Sources des Mondes Antiques »**

THÈSE DE DOCTORAT

Discipline : Langues, histoire et civilisations des mondes anciens
Mention « Langues et littératures anciennes »

**Marie-Ève GEIGER**

# LES HOMÉLIES DE JEAN CHRYSOSTOME *IN PRINCIPIUM ACTORUM* (*CPG* 4371) : PROJET D'ÉDITION CRITIQUE, TRADUCTION ET COMMENTAIRE

préparée sous la direction de
**M. Jean SCHNEIDER**, Professeur à l'Université Lumière Lyon 2
et **M. Olivier MUNNICH**, Professeur à l'Université Paris-Sorbonne

présentée et soutenue publiquement

le **3 février 2018**

devant un jury composé de :

| | |
|---|---|
| **Mme Catherine BROC-SCHMEZER** | Professeur à l'Université Jean Moulin Lyon 3 |
| **M. Volker Henning DRECOLL** | Professeur à la Eberhard Karls Universität Tübingen (Allemagne) |
| **Mme Brigitte MONDRAIN** | Directeur d’études à l’École pratique des Hautes Études, IVe Section, Sciences historiques et philologiques |
| **M. Olivier MUNNICH** | Professeur à l'Université Paris-Sorbonne |
| **M. Jean SCHNEIDER** | Professeur à l'Université Lumière Lyon 2 |
| **M. Peter VAN DEUN** | Professeur à la Katholieke universiteit Leuven (Belgique) |

**VOLUME 2**

# Deuxième partie :
# Édition des homélies
# *In principium Actorum*

# *Abbreuiationes apparatus critici*

| | |
|---|---|
| *ac* | *ante correctionem* |
| *add.* | *addidit* |
| *adn.* | *adnotauit* |
| *al. man.* | *alia manu* |
| *corr.* | *correxit* |
| *deleu.* | *deleuit* |
| *des.* | *desinit* |
| *ead. man.* | *eadem manu* |
| *eras.* | *erasit* |
| *exp.* | *expunxit* |
| *inc.* | *incipit* |
| *mg / in marg.* | *in margine* |
| *om.* | *omisit* |
| *pc* | *post correctionem* |
| *praem.* | *praemisit* |
| *scr.* | *scripsit* |
| *s. l.* | *supra lineam* |
| *transp.* | *transposuit* |
| *txt* | *in textu* |
| *ut uid.* | *ut uidetur* |

# Homélie 1 : *Conspectus siglorum*

## *Traditio directa*

| | |
|---|---|
| *B* | **Berlin**, Deutsche Staatsbibliothek, *Phillippicus* 1442, *saec.* XI, ff. 297–304 |
| *G* | **Genova**, Biblioteca Franzoniana, *Urbani* 13, *saec.* XI, ff. 90–99 |
| *J* | **Hagion Oros**, Monê Esphigmenou, 11, *saec.* XI, ff. $257^{v}$–$264^{v}$ (*lac.*) |
| *I* | **Istanbul**, Patriarkhikê Bibliothêkê, Theol. Skholê, Uncatal. Section, 26, *saec.* X-XI, ff. 284–$290^{v}$, $63^{r-v}$ (*lac.*) |
| *H* | **München**, Bayerische Staatsbibliothek, *Cod. graec.* 6, *saec.* XI, ff. $146^{v}$–$155^{v}$ |
| *K* | **Oxford**, Bodleian Library, *Holkham. gr.* 41, *saec.* X-XI, ff. 26–44 |
| $P_1$ | **Paris**, Bibliothèque Nationale de France, *Gr.* 660, *saec.* XII, ff. $366^{v}$, $356^{r-v}$ (*frag.*) |
| *T* | **Torino**, Biblioteca Nazionale Universitaria, B. I. 10, *saec.* XI, ff. $51^{v}$–61 |
| $W_1$ | **Città del Vaticano**, Biblioteca Apostolica Vaticana, *Vaticanus gr.* 569, *saec.* XIV, ff. 174–$184^{v}$ |
| *V* | **Città del Vaticano**, Biblioteca Apostolica Vaticana, *Vaticanus gr.* 1920, *saec.* X, ff. 408–417 |

## *Editiones*

| | |
|---|---|
| *Sav.* | Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ... τοῦ Χρυσοστόμου τῶν εὑρισκομένων ... Δι’ ἐπιμελείας καὶ ἀναλωμάτων Ἐρρίκου τοῦ Σαβιλίου ..., Etonae 1612, t. VI, pp. 722–729 |
| *Front.* | *Joannis Chrysostomi opera omnia ... cura Frontonis Ducaei*, Parisiis 1621, t. V, pp. 644–658 |
| *Patr.* | *Patrologia Graeca* 51, Parisiis 1862, col. 67–76 |

## *Traditio indirecta*

| | |
|---|---|
| *t* | **Torino**, Biblioteca Nazionale Universitaria, C. V. 23, *saec.* XV, ff. 76$^{v}$–92, *In illos qui ad ecclesiam non conueniunt* (*ecloga*) |
| *ecl*$^{16}$ | *Ecloga* 16 : *De superbia et inani gloria*, *PG* 63, col. 671–678 |
| *Cram.* | *Catenae Graecorum Patrum ... in Acta SS. Apostolorum edidit J. A. Cramer*, Oxonii, 1838, pp. 287–290 |

**Tit.** Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου. Πρὸς τοὺς ἐγκαταλείψαντας τὴν σύναξιν καὶ εἰς τὸ μὴ παρατρέχειν τὰς ἐπιγραφὰς τῶν θείων γραφῶν καὶ εἰς τὸ ἐπίγραμμα τοῦ βωμοῦ καὶ εἰς τοὺς νεοφωτίστους.

*PG* 51 col. 67

**α'.** Τί τοῦτο; Ὅσον προΐασιν ἡμῖν αἱ ἑορταί, τοσοῦτον καὶ αἱ συνάξεις ἐλάττους γίνονται. Ἀλλὰ μὴ ἀθυμῶμεν ἡμεῖς οἱ παρόντες· ἐλάττους μὲν γίνονται τῷ πλήθει, οὐκ ἐλάττους δὲ τῇ προθυμίᾳ· ἐλάττους τῷ ἀριθμῷ, οὐκ ἐλάττους δὲ τῷ πόθῳ. Ἐλάττους γίνονται *ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν*[1] καὶ μάθωμεν τίνες μὲν συνηθείᾳ, τίνες δὲ ἐπιθυμίᾳ θείων λογίων παραγίνονται δι' ἐνιαυσιαίου ἑορτῆς, τίνες ἐπιθυμίᾳ ἀκροάσεως πνευματικῆς. Πᾶσα ἡ πόλις ἦν ἐνταῦθα τῇ κυριακῇ τῇ προτέρᾳ, μεστοὶ οἱ περίβολοι, καὶ κύματα ἀπιόντα καὶ ἐπανιόντα ἐμιμεῖτο τὸ πλῆθος· ἀλλ' ἐμοὶ τῶν πολλῶν ἐκείνων ποθεινοτέρα ἡ ὑμετέρα γαλήνη, ἐμοὶ τοῦ θορύβου καὶ τῆς ταραχῆς ἐκείνης τιμιωτέρα ὑμῶν ἦν ἡ ἡσυχία. Τότε τὰ σώματα ἦν ἀριθμεῖν παρόντα, νῦν τὰ φρονήματα εὐλαβείας γέμοντα. Εἴ τις τὴν σύναξιν ταύτην τὴν ὀλιγάνθρωπον καὶ τὸ πλεῖον ἐκ πενήτων συνεστηκυῖαν, κἀκείνην τὴν σύναξιν τὴν πολυάνθρωπον καὶ τὸ πλεῖον ἀπὸ πλουσίων συγκεκροτημένην, εἴ τις ἀμφοτέρας τὰς συνάξεις ταύτας ὥσπερ ἐν ζυγῷ καὶ σταθμῷ ἐθελήσει σταθμῆσαι, εὑρήσει ἂν ταύτην καθέλκουσαν. Εἰ γὰρ ἐλάττους τῷ ἀριθμῷ, ἀλλὰ τιμιώτεροί ἐστε τῇ προθυμίᾳ. Οὕτω καὶ ἐπὶ τῶν σταθμητῶν γίνεται· ἐὰν δέκα τις στατῆρας χρυσίου λαβὼν εἰς μίαν κατάθηται πλάσ-

[1] 1 Co 11, 19

**[Ms. *V J (usque ad l. 371,* ἀμφιβάλλειν*) $P_1$ (usque ad l. 13,* ὥσπερ*, et a l. 84,* δαπα]νωμένην*, usque ad l. 120,* ὅπου τὸ*) I (usque ad l. 313,* οὐ γὰρ*) T G H (plane usque ad l. 84, deinde partim) K B (plane usque ad l. 155, deinde partim) $W_1$ (partim)*]** 1–2 **Tit.** τοῦ – χρυσοστόμου *T* ] τοῦ αὐτοῦ *V J $P_1$ I G*, ὁμιλία *add. H*, ὁμιλία *K*, *om. B* || 2 πρὸς τοὺς ἐγκαταλείψαντας *J $P_1$ I T G H K* ] πρὸς τοὺς ἐγκαλείψαντας *$V^{ac}$*, πρὸς τοὺς μὴ ἀπαντήσαντας εἰς *B* || 2 σύναξιν ] τῆς ἐκκλησίας *add. H Patr.* || 3 θείων ] *om. B* || 3 γραφῶν ] βιβλίων *B* || 1 **α'**. ὅσον προΐασιν ] ὅσῳ πρόεισιν *B* || 1 αἱ *J $P_1$ I T G H K* ] *om. V*, ἡ *B* || 1 ἑορταὶ ] ἑορτὴ *B* || 1 τοσοῦτον *V J $P_1$ I T G H* ] τοσούτῳ *K B* || 2 ἀθυμῶμεν ] ῥᾳθυμῶμεν *H Patr.* || 2 μὲν *V H K* ] γὰρ *add. J $P_1$ I T G B* || 3 ἐλάττους ] δὲ *add. $P_1$* || 4 δὲ ] *om. $P_1$* || 4 ἐλάττους ] δὲ *add. $P_1$* || 4 γένωνται ] γένονται *$P_1$*, γίνονται *B* || 4 ἐν ] *om. H Sav.* || 5 μάθωμεν ] θῶμεν *B* || 5 θείων ] τῶν *praem. B* || 5 παραγίνονται ] παραγίνωνται *$P_1$* || 5–6 δι' ἐνιαυσιαίου ἑορτῆς ] *om. B* || 5 δι' *$P_1$ T G K* ] διὰ *V J I H* || 6 τίνες ] δὲ *add. B* || 7 τῇ κυριακῇ τῇ προτέρᾳ ] τῇ προτέρᾳ κυριακῇ *H Patr.* || 8 ἐπανιόντα ] ἐπιόντα *H Sav.* || 8 ἐμιμεῖτο ] ἡμῖν *add. B* || 8 πολλῶν ] κυμάτων *B $W_1$ Front. Patr.* || 9 ὑμῶν ] *om. V* || 9 ἦν *V J $P_1$ T K* ] *om. G H B* || 10 ἡσυχία ] καὶ ἡ εὐλαβεία *add. B* || 10 τὰ ] *om. B* || 10 νῦν ] δὲ *add. $W_1$* || 11 εἴ ] ἤ *$P_1$* || 11 σύναξιν ] σύνταξιν *B* || 11 τὸ ] *om. B* || 12 σύναξιν ] σύνταξιν *B* || 12 ἀπὸ ] ἐκ *B* || 14 ἐθελήσει σταθμῆσαι *V J I T* ] θελήσει σταθμῆσαι *G H Patr.*, ἐθελήσοι σταθμῆσαι *K*, στῆσαι θελήσοι *B* || 14 εὑρήσει *V J I T G K* ] εὕρῃ *H Patr.*, εὗρεν *B* || 14 ταύτην ] μᾶλλον *add. K* || 14 γὰρ ] καὶ *add. V B* || 15 προθυμίᾳ ] ἐπιθυμίᾳ *H Patr.* || 16 δέκα ] δὲ καὶ *B*

**[Trad. indirecta]** 2 μὲν ] γὰρ *add. t, et uerbo* ἀλλὰ *inc. excerptum* || 3 οὐκ ] ἀλλ' *praem. t* || 4–16 ἐλάττους – γίνεται ] *om. t* || 16 ἐὰν ] δέ *add. t* || 16 δέκα τις ] τις δέκα *t* || 16 κατάθηται ] καταθεῖ *t*

τιγγα, εἶτα εἰς τὴν ἑτέραν πλάστιγγα χαλκοὺς ἑκατόν, οἱ μὲν ἑκατὸν χαλκοὶ πρὸς ἑαυτοὺς καθέξουσι τὴν τρυτάνην, οἱ δὲ δέκα χρυσοὶ τῇ τῆς φύσεως ὑπεροχῇ μειζόνως ἀνθέλκουσι, βαρύτεροι καὶ τιμιώτεροι ὄντες κατὰ τὸν τῆς οὐσίας λόγον. Ὥστε ἔστιν ὀλίγους ὄντας τῷ ἀριθμῷ, τῶν πολλῶν τιμιωτέρους εἶναι καὶ ἀναγκαιοτέρους.

Ἀλλὰ τί ὑμῖν τὰ παραδείγματα ἀπὸ τῶν ἐν συνηθείᾳ φέρω πραγμάτων, δέον αὐτὴν τοῦ Θεοῦ τὴν ψῆφον περὶ τούτων παραγαγεῖν ἀποφαινομένην; Τί οὖν αὕτη φησί; *Κρείσσων εἷς ποιῶν τὸ θέλημα Κυρίου ἢ μυρίοι παράνομοι*[2]. Ἔστι γάρ, ἔστι πολλάκις ἄνθρωπος εἷς μυρίων ἀντάξιος. Καὶ τί λέγω, ἔστιν εἷς ἄνθρωπος μυρίων ἀντάξιος μόνος; Ἀλλὰ καὶ τῆς οἰκουμένης ἀναγκαιότερος καὶ τιμιώτερος. Καὶ τούτου τὴν μαρτυρίαν ἀπὸ τῶν Παύλου ῥημάτων ποιήσομαι. Ἀνθρώπων γὰρ μνησθεὶς πενήτων, ἐλαυνομένων, *θλιβομένων, κακουχουμένων*, οὕτω φησί· *Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγίοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος*[3]. « Τί λέγεις; Τῶν *ὑστερουμένων*, τῶν *κακουχουμένων*, τῶν ἐλαυνομένων, τῶν οὐκ ἐχόντων πατρίδα[4] *οὐκ ἦν ἄξιος ὁ* | *κόσμος* ; Οὐκ col. 68 ἦν; Οὐχ ὁρᾷς πόσους πόσοις ἀντέστησας; » « Ὁρῶ μέν, φησί, καὶ διὰ τοῦτο εἶπον ὅτι *οὐκ ἦν ἄξιος ὁ κόσμος* αὐτῶν· ἐγὼ γὰρ τῶν νομισμάτων τούτων τὴν φύσιν οἶδα σαφῶς. » Καὶ γῆν καὶ θάλατταν καὶ βασιλεῖς καὶ ἐπάρχους καὶ πᾶσαν ἁπλῶς τῶν ἀνθρώπων τὴν φύσιν θείς, καὶ δύο ἢ τρεῖς πένητας τούτοις

[2] Si 16, 3
[3] He 11, 37–38
[4] cf. He 11, 14

**[Ms. *V J (usque ad l. 371,* ἀμφιβάλλειν*) P₁ (usque ad l. 13,* ὥσπερ, *et a l. 84,* δαπα*]*νωμένην, *usque ad l. 120,* ὅπου τὸ*) I (usque ad l. 313,* οὐ γὰρ*) T G H (plane usque ad l. 84, deinde partim) K B (plane usque ad l. 155, deinde partim) W₁ (partim)*]** 18 καθέξουσι *V J I K T G* ] καθέλκουσι *H Patr.*, καθέλξουσιν *B* || 19 ἀνθέλκουσι ] ἀνθέλκοντες *B* || 19 ὄντες ] om. *B* || 19 οὐσίας ] φανήσονται *add. B* || 20 τιμιωτέρους εἶναι ] εἶναι τιμιωτέρους *H Patr.* || 22 συνηθείᾳ ] τῇ *praem. H Patr.* || 22 φέρω ] φέρων *B* || 23 τούτων ] τούτου *B* || 23 ἀποφαινομένην ] ἀποφηναμένου *B* || 24 κρείσσων *V I T K* ] κρεῖσσον *J G H B* || 24 τὸ *V H K B* ] *om. J I T G* || 24 κυρίου ] τοῦ *praem. H Patr.* || 25 εἷς ] *ante* ἄνθρωπος *transp. B* || 25 εἷς ] *om. B* || 26 ἀντάξιος ] *om. t* || 26 μόνος ] εἷς ἄνθρωπος πολλάκις τῆς οἰκουμένης ἀντάξιος· μᾶλλον δὲ οὐ τῆς οἰκουμένης ἀντάξιος μόνης *B* || 27 ποιήσομαι ] οἴσωμεν *B* || 28 οὕτω *V J I T G H* ] πῶς *add. K B* || 29–30 περιῆλθον – κακουχούμενοι ] *om. K* || 30 ὑστερουμένων ] τῶν θλιβομένων *add. B* || 31 τῶν ἐλαυνομένων ] *om. H Patr.* || 31–32 οὐκ ἦν *V I T G K* ] *om. J H B Patr.* || 32 οὐχ – ἀντέστησας *V I T G K B* ] *om. J H* || 32 ἀντέστησας ] ἀνέστησας *V* || 32 φησί ] οὖν πάνυ *praem. B* || 32 τοῦτο ] ὅσον *add. V* || 33 ἄξιος ὁ κόσμος ] ὁ κόσμος ἄξιος *H Patr.* || 33 αὐτῶν ] *om. B* || 34 ἐπάρχους ] ὑπάρχους καὶ στρατηγοὺς καὶ εὐπόρους *B* || 35 τῶν ἀνθρώπων τὴν φύσιν ] τὴν φύσιν τῶν ἀνθρώπων *K* || 35 θείς ] τιθείς *H Patr.* || 35 ἢ ] καὶ *add. G* || 35 τρεῖς ] μόνους *add. B*

**[Trad. indirecta]** 19 βαρύτεροι καὶ ] διότι *t* || 20–23 ὥστε – αὐτὴν ] *om. t* || 23 τοῦ ] καὶ γὰρ ἀπὸ τὸν *praem. t* || 23 τὴν ] *om. t* || 23 περὶ τούτων παραγαγεῖν ἀποφαινομένην ] τὸν λόγον ὑμῖν παραστήσω *t* || 24 αὕτη ] *om. t* || 24 κρείσσων ] κρεῖσσον *t* || 24 κυρίου ] τοῦ *praem. t* || 25 πολλάκις ] *om. t* || 25 καὶ – ἄνθρωπος ] *om. t* || 26 μυρίων ] οὐ *praem. t* || 26 μόνος ] μόνον *t* || 26 οἰκουμένης ] ἁπάσης *t* || 26 ἀναγκαιότερος καὶ τιμιώτερος ] *om. t* || 27 καὶ – ποιήσομαι ] καθὼς ὁ παῦλος *** *t* || 28 πενήτων ἐλαυνομένων θλιβομένων ] ἐλαχίστων *t* || 28 οὕτω ] οὑτωσὶ *t* || 28 φησί ] *t legi nequit* || 29 ὑστερούμενοι ] *t legi nequit* || 30 τί λέγεις ] διότι κρεῖσσον εἷς ποιῶν τὸ θέλημα τοῦ κυρίου ἢ μυρίοι παράνομοι *t, et hic des. excerptum primum*

ἀντιστήσας, θαρρῶν ἂν εἴποιμι ὅτι οὗτοι μᾶλλον κατάγουσιν οἱ πένητες. Εἴπερ ἐκεῖνοι ἀπηλαύνοντο πατρίδος, ἀλλ' εἶχον πατρίδα τὴν ἄνω Ἱερουσαλήμ[5]. Ἐν πενίᾳ διῆγον· ἀλλ' ἐπλούτουν κατὰ τὴν εὐσέβειαν. Ἀνθρώπων ἦσαν ἐχθροί· ἀλλὰ τῷ Θεῷ φίλοι[6]. Καὶ τίνες εἰσὶν οὗτοι; Ὁ Ἠλίας, ὁ Ἐλισσαῖος, καὶ οἱ κατ' ἐκείνους πάντες. Μὴ γὰρ δὴ τοῦτο εἴπῃς ὅτι οὐδὲ τῆς ἀναγκαίας ηὐπόρουν τροφῆς, ἀλλ' ὅτι τὸ στόμα Ἠλίου τὸν οὐρανὸν ἔκλεισε[7] καὶ ἀνέῳξε[8], καὶ ἡ μηλωτὴ αὐτοῦ τὸν Ἰορδάνην ἀπέστρεψε[9].

Καὶ ταῦτα ἐννοῶν χαίρω καὶ ἀλγῶ· χαίρω μὲν δι' ὑμᾶς τοὺς παρόντας, ἀλγῶ δὲ δι' ἐκείνους τοὺς μὴ παρόντας· ἀλγῶ σφόδρα καὶ ὀδυνῶμαι, καὶ συντρίβομαι τὴν καρδίαν. Τίς γὰρ ἂν καὶ τῶν σφόδρα ἀναλγήτων οὐκ ἂν ἀλγήσειε τὰ τοῦ διαβόλου πλείονος ἀπολαύοντα σπουδῆς ὁρῶν; Καίτοι εἰ καὶ ἴσης ἀπήλαυεν, οὐδεμία ἡμῖν ἦν συγγνώμη, οὐδὲ ἀπολογία, ὅταν δὲ καὶ πλεονεκτῇ, τίς ἡμῖν ἐλλείπεται λόγος; Θέατρα καθ' ἑκάστην καλεῖ τὴν ἡμέραν, καὶ οὐδεὶς ὁ ὀκνῶν, οὐδεὶς ὁ ἀναδυόμενος, οὐδεὶς ἀσχολίαν προβάλλεται πραγμάτων· ἀλλ' ὥσπερ εὔζωνοι καὶ λελυμένοι φροντίδος ἁπάσης, οὕτω τρέχουσιν ἅπαντες· οὐχ ὁ γέρων τὴν πολιὰν αἰδεῖται, οὐχ ὁ νέος ὑφορᾶται τὴν φλόγα τῆς φύσεως καὶ τῆς ἐπιθυμίας, οὐχ ὁ πλούσιος τὸ ἀξίωμα τὸ ἑαυτοῦ καταισχύνειν ἡγεῖται. Ἀλλ' ἐὰν μὲν εἰς ἐκκλησίαν ἀπαντῆσαι δέῃ, καθάπερ ἐξ ὑπεροχῆς τινος καὶ ἀξιώματος καταβαίνων, οὕτω ναρκᾷ καὶ ὀκνεῖ, καὶ μετὰ ταῦτα φυσᾶται, ὥσπερ τι τῷ Θεῷ χαρι-

[5] cf. Ga 4, 26 ; He 11, 16
[6] cf. Jn 15, 14–15 ; Jc 2, 23
[7] cf. 1 R 17, 1 ; Jc 5, 17
[8] cf. Jc 5, 18
[9] cf. 2 R 2, 7–8 ; 14

**[Ms. *V J (usque ad l. 371,* ἀμφιβάλλειν*)* $P_1$ *(usque ad l. 13,* ὥσπερ, *et a l. 84,* δαπα]νωμένην*, usque ad l. 120,* ὅπου τὸ*) I (usque ad l. 313,* οὐ γὰρ*) T G H (plane usque ad l. 84, deinde partim) K B (plane usque ad l. 155, deinde partim)* $W_1$ *(partim)*]** 36 μᾶλλον κατάγουσιν ] κατάγουσιν μᾶλλον *B* || 36–37 εἴπερ ἐκεῖνοι ] *om. B* || 36 εἴπερ *V J G H* ] ἤπερ *I T K* || 38 ἀνθρώπων ] ἀνθρώποις *B* || 39 οὗτοι ] φησι *add. K* || 39 ὁ ] *om. K* || 39 ὁ ] *om. K* || 40 πάντες ] ἅπαντες *H* || 40 εἴπῃς ] ἴδῃς *B* || 40 ηὐπόρουν ] εὐπόρουν *K* || 41 τροφῆς ] *post* ἀναγκαίας *transp. J* || 41 ἀνέῳξε ] ἠνέῳξε *K*, τὸν οὐρανὸν *add. B* || 43 καὶ ] *om. B* || 43 ἐννοῶν ] καὶ *add. B* || 43 ὑμᾶς ] ὑμῶν *B* || 44 ὀδυνῶμαι ] ὀδύρομαι *B* || 44 συντρίβομαι ] συντέτριμμαι *H Patr.* || 45 ἂν *J I T G K B* ] *om. V H Patr.* || 45 ἀλγήσειε *V H K B* ] ἀλγήσαιεν *J I T G* || 46 ἀπολαύοντα ] ἀπολαύοντας *B* || 46 σπουδῆς ] μετὰ *praem. B* || 46 καίτοι ] γέ *add. B* || 46 ἀπήλαυεν *V J I T* ] ἀπέλαυεν *G K*, ἀπήλαυσεν *H B Patr.* || 47 ἡμῖν ] om. *B* || 47 συγγνώμη ] ἡ *praem. H Patr.* || 47 δὲ ] *om. B* || 48 ἐλλείπεται ] λείπεται *B* || 50 λελυμένοι ] λελοιμένοι *B* || 50 ἁπάσης ] ἁπάντων *B* || 50 οὐχ ὁ ] οὐχὶ $V^{pc}$ || 51 ὑφορᾶται ] ὑφορᾶτε *B* || 52 τὸ ] τῷ *B* || 53 ἀπαντῆσαι ] ἀπαντῖσαι *B* || 53 καὶ ] *om. T* || 54–55 τῷ θεῷ χαρισάμενος ] χαρισάμενος τῷ θεῷ *B*

**[Trad. indirecta]** 37 ἀπηλαύνοντο πατρίδος ] πατρίδος ἀπηλαύνοντο *t, et eis uerbis inc. excerptum secundum* || 37–38 ἐν πενίᾳ ] εἰς πενίαν *t* || 39–42 καὶ τίνες – ἀπέστρεψε ] *om. t* || 43 καὶ – χαίρω ] χαίρω δὲ σήμερον *t* || 43 χαίρω ] καὶ *praem. t* || 43 δι' ] διὰ *t* || 43 ὑμᾶς ] *om. t* || 44 δι' ] διὰ *t* || 44 ἐκείνους ] *om. t* || 44–48 ἀλγῶ σφόδρα – λόγος ] *om. t* || 49–50 ἀλλ' ὥσπερ – ἅπαντες ] *om. t* || 52 ἀξίωμα τὸ ἑαυτοῦ ] ἑαυτοῦ ἀξίωμα *t* || 52 καταισχύνειν ] αἰσχύνην *t* || 54 καὶ ὀκνεῖ ] *om. t*

σάμενος· εἰς δὲ θέατρον σπεύδων, ἔνθα ἀσελγῆ θεάματα καὶ ἀκούσματα, οὐ νομίζει καταισχῦναι ἑαυτόν, οὐ τὸν πλοῦτον, οὐ τὴν εὐγένειαν. Ἐβουλόμην εἰδέναι ποῦ νῦν εἰσιν οἱ κατὰ τὴν ἡμέραν ἐκείνην ἡμῖν ἐνοχλήσαντες· ἐνόχλησις γὰρ ἦν αὐτῶν ἡ παρουσία· ἐβουλόμην εἰδέναι τί πράττουσι, τί τῶν παρόντων αὐτοὺς ἀναγκαιότερον ἀπησχόλησεν. Ἀλλ' ἀσχολία οὐδεμία, τῦφος δὲ μόνος. Καὶ τί γένοιτ' ἂν τούτου μανικώτερον; Τίνος γὰρ ἕνεκεν μεγαλοφρονεῖς, ἄνθρωπε, καὶ νομίζεις ἡμῖν χαρίζεσθαι, ἐὰν παραγενόμενος ἀκούσῃς τὰ πρὸς σωτηρίαν τῆς σῆς ψυχῆς. Τίνος ἕνεκεν, εἰπέ μοι, καὶ διὰ τί; Διὰ τὸν πλοῦτον, διὰ τὰ ἱμάτια τὰ σηρικά; Εἶτα οὐκ ἐννοεῖς ὅτι σκωλήκων εἰσὶν ἐκεῖνα νήματα καὶ βαρβάρων ἀνθρώπων εὑρέματα, | col. 69 ὅτι πόρναι ἐκείνοις κέχρηνται καὶ μαλακοὶ καὶ τυμβωρύχοι καὶ λῃσταί[10]; Ἐπίγνωθι τὸν δίκαιον πλοῦτον, καὶ κατάβηθί ποτε ἀπὸ τοῦ φυσήματος τοῦ κενοῦ· διάσκεψαι τῆς φύσεως τὸ εὐτελές. Γῆ καὶ σποδὸς[11] εἶ, τέφρα καὶ κόνις, καπνὸς καὶ σκιά, χόρτος καὶ ἄνθος χόρτου[12]. Τοιαύτῃ δὴ φύσει συζῶν μεγαλοφρονεῖς, εἰπέ μοι; Καὶ τί τούτου γένοιτ' ἂν καταγελαστότερον; Ἀλλὰ πολλῶν ἄρχεις ἀνθρώπων; Καὶ τί τούτου ὄφελος, ὅταν ἀνθρώπων μὲν

[10] cf. 1 Co 6, 9–10

[11] cf. Gn 3, 19 ; Gn 18, 27 ; Jb 34, 15 ; Jb 42, 6 ; Si 10, 9 ; Si 40, 11

[12] cf. Ps 36, 20 ; Ps 102 (101), 4–5 ; 10 ; 12 ; Ps 103 (102), 15 ; Ps 109 (108), 23 ; Ps 144 (143), 4 ; Jb 8, 9 ; Jb 14, 2 ; Is 40, 6–7 ; Is 51, 12 ; 1 P 1, 24 (Is 40, 6–8 *cit.*)

**[Ms. *V J (usque ad l. 371,* ἀμφιβάλλειν*) $P_1$ (usque ad l. 13,* ὥσπερ, *et a l. 84,* δαπα]νωμένην, *usque ad l. 120,* ὅπου τὸ*) I (usque ad l. 313,* οὐ γὰρ*) T G H (plane usque ad l. 84, deinde partim) K B (plane usque ad l. 155, deinde partim) $W_1$ (partim)*]** || 55 θέατρον ] θάτερον *H* || 55 θεάματα ] καὶ *praem. B* 56 νομίζει ] κολάζει *B* || 56 καταισχῦναι *V J I T G H* ] καταισχύνειν *K*, καταισχύνων *B* || 56 ἑαυτόν ] αὐτόν *H* || 56 οὐ$^{2}$ ] οὐδὲ *H Patr.* || 58 ἦν αὐτῶν *V J I T G H* ] αὐτῶν ἦν *K B* || 58 εἰδέναι ] γνῶναι *K* || 58 πράττουσι ] νῦν *add. K* || 58 παρόντων ] πραγμάτων *B* || 59 ἀναγκαιότερον ] ἀναγκαιοτέρων *B* || 59 ἀπησχόλησεν ] ἀπεσχόλησεν *H Patr.* || 59 ἀσχολία ] μὲν *add. B* || 60 τούτου *J I T G B* ] *post* τί *transp. V*, αὐτοῦ *K* || 60 μανικώτερον ] μανικότερον *B* || 60 μεγαλοφρονεῖς ἄνθρωπε *V J I G T* ] ἄνθρωπε μεγαλοφρονεῖς *H Patr.*, μέγα φρονεῖς ἄνθρωπε *K B* || 61 παραγενόμενος ] παραγενάμενος *B* || 61 ἀκούσῃς ] ἐνταῦθα προσέχῃς καὶ *praem. H Patr.* || 62 σῆς ] *om. B* || 62 τί ] ἀλαζονεύῃ *add. H Patr.* || 63 σκωλήκων ] σκωλίκων *B* || 63 εἰσὶν ] ἐστὶν *B* || 64 εὑρέματα ] εὑρήματα *B* || 65 δίκαιον ] οἰκίον *B* || 65 ἀπὸ ] *om. B* || 66 τοῦ κενοῦ *V J I T K B* ] τοῦ διακένου *G*, ἐκείνου τοῦ ὑψηλοῦ καὶ κενοῦ *H Patr.* || 66 διάσκεψαι ] διάσκεψε *H* || 66–67 γῆ – σκιὰ ] *textus corruptus T* || 66 εἶ ] ἢ *S H* || 67 δὴ *J I T G K B* ] *om. V H Patr.* || 67 φύσει ] φύσις *B* || 68 συζῶν *V J I T G K* ] *om. H Patr.*, ἀνθρώπων καὶ σὺ *B* || 68 μεγαλοφρονεῖς ] μέγα φρονεῖς *B* || 68 τούτου ] του *G* || 69 τούτου *V J I G* ] τοῦτο *T H K Patr.*

**[Trad. indirecta]** 56–60 οὐ τὸν πλοῦτον – μανικώτερον ] *om. t* || 60 γὰρ ] *om. ecl*$^{16}$, *et uerbo* τίνος *inc. excerptum* || 60 ἕνεκεν ] ἕνεκα *ecl*$^{16}$ || 60 μεγαλοφρονεῖς, ἄνθρωπε ] *t legi nequit* || 60 μεγαλοφρονεῖς ] μέγα φρονεῖς *ecl*$^{16}$ || 60–62 καὶ – μοι ] *om. ecl*$^{16}$ || 61 ἡμῖν χαρίζεσθαι ] χάριν ποιεῖν τῷ θεῷ *t* || 61 παραγενόμενος ] παραγεν*** *t* || 61 ἀκούσῃς ] <ἐκ>κλησίᾳ καὶ *praem. t* || 62 εἰπέ μοι ] *om. t* || 62 καὶ διὰ τί ] *om. t* || 62–65 διὰ$^{2}$ – καὶ$^{2}$ ] *om. ecl*$^{16}$ || 62–63 ἱμάτια τὰ σηρικά ] σηρικὰ τὰ ἱμάτια *t* || 63–65 εἶτα – λῃσταί ] *om. t* || 65 ἐπίγνωθι ] διὰ τὸν χρυσὸν ὅπερ καλοπίζεις (*sic*) τὸ ἔξωθεν κάλος (*sic*)· ἀμὴν λέγω ὑμῖν ὅτι ὁ μὴ καλοπίσας (*sic*) τὸ κατ' εἰκόνα ὑπὲρ τὸν χοῦν· μετὰ ἀλλήλων γοῦν διετᾶτα (*sic*)· τί ποιεῖς ἄνθρωπε *praem. t* || 65 ποτε ] *om. t ecl*$^{16}$ || 66 φυσήματος τοῦ κενοῦ ] κενοῦ φυσήματος *t* || 67 δὴ ] δὲ *t ecl*$^{16}$ || 68 μεγαλοφρονεῖς ] μέγα φρονεῖς *ecl*$^{16}$ || 68 εἰπέ μοι ] *om. t* || 69 ἀνθρώπων ] ἄνθρωπε *t* || 69–70 Καὶ τί τούτου ὄφελος, ὅταν ἀνθρώπων μὲν ἄρχῃς ] ἄρχεις *t* || 69 τούτου ] τὸ *add. ecl*$^{16}$

ἄρχῃς, τῶν δὲ παθῶν αἰχμάλωτος ᾖς καὶ δοῦλος, ὥσπερ ἄν τις οἴκοι μὲν ὑπὸ τῶν οἰκετῶν τύπτοιτο καὶ τραύματα λαμβάνοι, ἔξω δὲ εἰς τὴν ἀγορὰν ἐμβάλλων μεγαλοφρονῇ ἐπὶ τῇ τῶν ἄλλων ἀρχῇ ; Τύπτει σε κενοδοξία, τραύματά σοι ἐπάγει ἡ ἀσέλγεια, πάντων τῶν παθῶν δοῦλος εἶ, καὶ μέγα φρονεῖς ὅτι τῶν ὁμοφύλων ἄρχεις; Εἴθε ἐκείνων ἦρχες καὶ τούτων ἦς ἰσότιμος.

**β'**. Οὐ τῶν πλουτούντων κατηγορῶν ταῦτα λέγω, ἀλλὰ τῶν κακῶς τῷ πλούτῳ κεχρημένων. Οὐ γὰρ ὁ πλοῦτος κακόν, ἐὰν εἰς δέον βουλώμεθα αὐτὸν χρήσασθαι, ἀλλ' ἡ ἀπόνοια καὶ ἡ ἀλαζονεία. Εἰ κακὸν ἦν ὁ πλοῦτος, οὐκ ἂν ἦν Ἰὼβ *δίκαιος, ἄμεμπτος, ἀληθινός, θεοσεβής*[13]. Εἰ κακὸν ἦν ὁ πλοῦτος, οὐκ ἂν πάντες ηὐξάμεθα εἰς κόλπους Ἀβραὰμ[14] ἀπελθεῖν τοῦ ἔχοντος τριακοσίους δέκα ὀκτὼ οἰκογενεῖς[15]. Οὐ τοίνυν ὁ πλοῦτος κακόν, ἀλλ' ἡ παράνομος αὐτοῦ χρῆσις κακόν. Καὶ ὥσπερ πρῴην περὶ μέθης λέγων, οὐ τὸν οἶνον διέβαλλον· *πᾶν* γὰρ *κτίσμα Θεοῦ καλόν, καὶ οὐδὲν ἀπόβλητον, μετ' εὐχαριστίας λαμβανόμενον*[16]· οὕτω τοίνυν οὐ τῶν πλουτούντων κατηγορῶ, οὐδὲ τὰ χρήματα διαβάλλω, ἀλλὰ τὴν κακὴν τῶν χρημάτων χρῆσιν τ<ῶ>ν εἰς ἀσωτίαν δαπανωμέν<ῶ>ν. Διὰ τοῦτο χρήματα λέγεται ἵνα ἡμεῖς αὐτοῖς χρησώμεθα, καὶ μὴ ἐκεῖνα ἡμῖν· διὰ τοῦτο κτήματα λέγεται ἵνα ἡμεῖς αὐτὰ κτησώμεθα, καὶ μὴ ἐκεῖνα ἡμᾶς. Τί οὖν τὸν δοῦλον ἔχεις δεσπότην; Τί ἀντιστρέφεις τὴν τάξιν;

[13] Jb 1, 1
[14] cf. Lc 16, 22
[15] cf. Gn 14, 14
[16] 1 Tm 4, 4

**[Ms. *V J (usque ad l. 371,* ἀμφιβάλλειν*) $P_1$ (usque ad l. 13,* ὥσπερ*, et a l. 84,* δαπα]νωμένην*, usque ad l. 120,* ὅπου τὸ*) I (usque ad l. 313,* οὐ γὰρ*) T G H (plane usque ad l. 84, deinde partim) K B (plane usque ad l. 155, deinde partim) $W_1$ (partim)*]** 70 καὶ – ἄρχῃς ] *om. B* || 70 ἄρχῃς *V I T G K* ] ἄρχεις *J H Patr.* || 70 ᾖς *B* ] ᾖ *V J I T G*, εἶ *H $K^{pc}$ Patr.* || 70 καὶ ] *om. J* || 70 ἄν *V J I T G H* ] εἰ *add. K B* || 71 ἐμβάλλων *V I T H* ] ἐμβαλὼν *J G K B* || 72 μέγα φρονῇ *I T H* ] μεγαλοφρονῇ *V*, μέγα φρονεῖ *J G K*, μέγα φρονοίη *B* || 72 τύπτει ] τύπτεις *B*, οὕτω *praem. H Patr.* || 72 σε ] *om. B* || 72–73 ἐπάγει ] ποιεῖ πολλὰ *B* || 73 μέγα φρονεῖς ] μεγαλοφρονεῖς *V* || 74 εἴθε ] καὶ *add. B* || 74 καὶ ] *om. H Patr.* || 74 τούτων *K B* ] ἐκείνων *V J I T G H Patr.* || 74 ἦς *I T G H K B* ] εἶς *V J* || 74 ἰσότιμος ] ὁμότιμος *B* || 76 **β'**. βουλώμεθα *V J I T H* ] βουλόμεθα *G B*, βουλοίμεθα *K* || 76 αὐτὸν *V J I T* ] αὐτῷ *K G H B Patr.*, *ante* βουλόμεθα *transp. B* || 76–77 χρήσασθαι ] χρῆσθαι *B* || 77–78 εἰ – θεοσεβής ] *om. H Patr.* || 77 ἦν ] *om. B* || 78 πάντες ] *post* ηὐξάμεθα *transp. B* || 79 ὀκτὼ ] καὶ *praem. H Patr., notauerunt linea J I G* || 80 οἰκογενεῖς ] οἰκέτας *praem. H Patr.* || 81 διέβαλλον *J I T G H K* ] διέβαλον *V B* || 82 καλόν ] καλλόν *G* || 82 τοίνυν *V J I T $K^{ac}$* ] νῦν *$K^{pc}$ B*, καὶ νῦν *G $W_1$ Patr.* || 84 τ<ῶ>ν *conieci* ] τὴν *V J I T G K B*, καὶ *H Patr.* || 84 δαπανωμέν<ῶ>ν *conieci* ] δαπανωμένην *V J $P_1$ I T G H K B* || 85 χρησώμεθα ] χρώμεθα *B* || 86 ἵνα ] ἵν' *G* || 86 κτησώμεθα ] κτισώμεθα *$P_1$*, κτησόμεθα *B* || 86 τί οὖν ] τοίνυν *B* || 86 τὸν ] τοῦ *$G^{pc}$* || 86–87 ἔχεις δεσπότην ] δεσπότην ἔχεις *B* || 87 ἀντιστρέφεις ] ἀντέστρεψας *Patr.*

**[Trad. indirecta]** 70 ᾖς ] εἶ *t* || 70–72 ὥσπερ – ἀρχῇ ] *om. t* || 70 ἄν ] εἰ *add. $ecl^{16}$* || 71 ἐμβάλλων ] ἐμβαλὼν *$ecl^{16}$* || 72 μεγαλοφρονῇ ] μέγα φρονῇ *$ecl^{16}$* || 72–73 τύπτει – ἀσέλγεια ] *om. $ecl^{16}$* || 72 κενοδοξία ] ἡ *praem. t* || 73 ἀσέλγεια ] ὑπερηφανία *t* || 73 τῶν ] *om. $ecl^{16}$* || 74 εἴθε – ἰσότιμος ] *om. t* || 74 ἰσότιμος ] *hic des. excerptum $ecl^{16}$* || 76 οὐ γὰρ ὁ πλοῦτος ] *t legi nequit* || 76 βουλώμεθα αὐτὸν ] *om. t* || 76–77 χρήσασθαι ] χρησόμεθα *t* || 78–80 εἰ – οἰκογενεῖς ] *om. t* || 78 κακὸν ἦν ὁ πλοῦτος ] ὁ πλοῦτος κακόν *t* || 81–86 καὶ ὥσπερ – ἡμᾶς ] *om. t* || 85–86 χρησώμεθα – αὐτὰ ] *om. $P_1$* || 86 τί οὖν ] μὴ *t* || 87 τί – τάξιν ] *om. t*

Ἀλλ’ ἐβουλόμην μαθεῖν τί νῦν ποιοῦσιν οἱ τὴν σύναξιν ἐγκαταλείψαντες καὶ ἐν τίσιν εἰσίν. Ἀλλὰ ἢ κυβεύουσιν ἢ πάντως πράγματα ἀνακινοῦσι βιωτικὰ ταραχῆς ἐμπεπλησμένα. Ἐνταῦθα εἰ παρῆσαν, ἐν γαλήνῃ ἦσαν καὶ ἐν λιμένι· οὐκ οἰκονόμος εἰσελθὼν ἐτάραττεν, οὐκ ἐπίτροπος ἐθορύβει, οὐκ οἰκέτης ὑπὲρ πραγμάτων βιωτικῶν ἠνόχλει, οὐκ ἄλλος τις παρώξυνεν· ἀλλ’ ἐν ἡσυχίᾳ διάγοντες ἀπήλαυον θείων ἀκροάσεων. Οὐδαμοῦ κύματα ἐνταῦθα, οὐδαμοῦ ταραχή, ἀλλ’ εὐλογίαι καὶ εὐχαὶ καὶ ὁμιλία πνευματικὴ καὶ μετάστασις εἰς τὸν οὐρανόν· καὶ ἐντεῦθεν ἤδη τὸν ἀρραβῶνα τῆς βασιλείας τῶν οὐρανῶν λαβὼν ἀπῄεις. Τίνος ἕνεκεν τὴν πλουσίαν ταύτην τράπεζαν ἀφεῖς εἰς ἑτέραν φορτικωτέραν ἑαυτὸν μετήγαγες, καὶ τὸν λιμένα καταλιπὼν ταραχὴν ἀντικαταλλάττῃ γαλήνης; Τὸ μὴ παραγενέσθαι πένητας τοὺς τότε παρόντας δεινὸν μέν, ἀλλ’ οὐδὲ οὕτω δεινόν, ὡς τὸ μὴ παραγενέσθαι πλουσίους. Τίνος ἕνεκεν; Ὅτι οἱ μὲν πένητες ἔχουσι τὴν ἀναγκαίαν ἀσχολίαν, τὴν φροντίδα τῆς καθημερινῆς ἐργασίας, ἀπὸ τῶν χειρῶν ποιούμενοι τὸν βίον· παιδοτροφίας ἐπιμελοῦνται, γυναικὸς προεστήκασι, καὶ ἂν μὴ κάμωσι, τὰ τῆς ζωῆς αὐτοῖς οἴχεται. Ταῦτα λέγω, οὐχὶ ἀπολογίαν ὑπὲρ ἐκείνων συντιθείς, ἀλλὰ δεικνὺς πῶς μείζονος κατηγορίας οἱ πλουτοῦντές εἰσιν ἄξιοι. Ὅσον πλείονος ἀπολαύουσιν ἀδείας, τοσοῦτον καὶ κατακρίσεως ὅτι οὐδενὶ τούτων κατέχονται. | col. 70

Οὐχ ὁρᾶτε τοὺς Ἰουδαίους, τοὺς θεομάχους, τοὺς ἀντιπίπτοντας τῷ πνεύματι

---

**[Ms. *V J (usque ad l. 371,* ἀμφιβάλλειν*)* $P_1$ *(usque ad l. 13,* ὥσπερ*, et a l. 84,* δαπα]νωμένην*, usque ad l. 120,* ὅπου τὸ*) I (usque ad l. 313,* οὐ γὰρ*) T G H (plane usque ad l. 84, deinde partim) K B (plane usque ad l. 155, deinde partim)* $W_1$ *(partim)*]** 88 ἀλλ’ ] ἀλλὰ γὰρ *B* || 88 ἐγκαταλείψαντες ] καταλειπόντες *B* || 89 καὶ ] *om. B* || 89 ἀλλὰ ] *om. B* || 89 πάντως πράγματα ] πράγματα πάντως *B* || 89 ἀνακινοῦσι ] κινοῦσιν *B* || 90 παρῆσαν ] παρῆς ἄνθρωπε *B Patr.* || 90 ἦσαν ] *om. B*, εἶς $W_1$, ἧς *Patr.* || 90 καὶ ] *om. B* || 91 ἐθορύβει *V I T H K* ] ἐθορύβῃ $J^{ac}$ $G^{ac}$ $P_1$ *B* || 91 ὑπὲρ ] περὶ $P_1$ || 92 ἠνόχλει ] *ante* βιωτικῶν *transp. B* || 92–93 διάγοντες *V J* $P_1$ *I T G K* ] διάγων *H B Patr.* || 93 ἀπήλαυον ] ἀπέλαυον *G K*, ἀπέλαυων $P_1$, ἀπήλαυες *B Patr.* || 94 εὐλογίαι ] εὐλογίας $W_1$, εὐλογία *Patr.* || 94 καὶ – πνευματικὴ ] ὁμιλίαι εὐχαὶ πνευματικαὶ *B* || 94 καὶ εὐχαὶ ] μελέται $W_1$ || 94 εἰς ] πρὸς *B* || 96 ἀφεῖς ] ἀφιεὶς *B* || 96–97 φορτικωτέραν ἑαυτὸν ] ἑαυτὸν φορτικωτέραν *K*, φροντικοτέραν αὐτὸν *B* || 97 ἀντικαταλλάττῃ ] ἀντικαταλάττει *B* || 98 τὸ ] τοῦ *B* || 98 ἀλλ’ ] *om. B* || 98 οὐδὲ *V J* $P_1$ *I T K* ] οὐδὲν *G*, οὐχ *K*, οὐδὲν δὲ *B* || 99 δεινόν ] *om. B* || 99 παραγενέσθαι – ἕνεκεν ] *textus corruptus T* || 99 ὅτι ] *om. G* || 100 ἔχουσι ] ἔχουσιν *B* || 100 τὴν ] *om. B* || 100 ἀναγκαίαν ] ἀναγκαία (*sic*) τινὰ *B* || 101 τῶν χειρῶν ] τούτων *B* || 101 τὸν βίον ] $V^{mg}$ || 101 παιδοτροφίας *I T G H* $K^{pc}$ *B* ] παιδοτροφίαν *V J* $P_1$ $K^{ac}$, τὴν *praem. et eras. V* || 101 ἐπιμελοῦνται ] ἐπιμελούμενοι *V* || 102 καὶ ἂν ] κἂν *B Patr.* || 102 αὐτοῖς ] αὐτῶν *B* || 102 οἴχεται ] οἰχήσεται *Patr.* || 102 λέγω ] *om. T* || 102 οὐχὶ ] οὐχ *B* || 103 συντιθείς ] ποιούμενος *B* || 104 ὅσον ] ὅσοι *B*, ὅσῳ *K* || 104 τοσοῦτον ] τοσούτῳ *K*, *om. B* || 105 κατακρίσεως ὅτι ] *om. B* || 106–107 πνεύματι τῷ ἁγίῳ ] ἁγίῳ πνεύματι *Patr.*

---

**[Trad. indirecta]** 88 ἀλλ’ ] καὶ οὐκ ἕξεις ἀπολογίαν *praem. t* || 88 ποιοῦσιν ] ποιῶσιν *t* || 89–90 καὶ ἐν τίσιν – ἐμπεπλησμένα ] *om. t* || 90 ἐνταῦθα εἰ ] εἰ ἐνταῦθα *t* || 91 εἰσελθὼν ] ἐλθὼν *t* || 91 οὐκ ἐπίτροπος ἐθορύβει ] *om. t* || 92 οὐκ ἄλλος τις παρώξυνεν ] *om. t* || 94 εὐλογίαι – πνευματικὴ ] ὁμιλίαι πνευματικαὶ καὶ εὐχαὶ *t* || 95 καὶ ἐντεῦθεν – ἀπῄεις ] *om. t* || 96 ἕνεκεν ] ἄνθρωπε *add. t* || 97 ἀντικαταλλάττῃ ] ἀντικαταλάττει *t* || 98 τὸ μὴ – παρόντας ] τὸ μὴ παραγενέσθαι πένητας ἐν τῇ ἐκ<κλησίᾳ> *post* μὲν *transp. t* || 98 οὐδὲ ] οὐχ *t* || 99 πλουσίους ] *** μείνων ἐν τῇ ἐκκλησίᾳ μικρόν *t, et hic des. excerptum secundum*

τῷ ἁγίῳ, τοὺς σκληροτραχήλους[17]; Τούτων οἱ μὴ παραγενόμενοι παντὸς χείρους εἰσίν. Ἐκείνοις ἐὰν εἴπωσιν οἱ ἱερεῖς ἑπτὰ ἡμέρας ἀργῆσαι, καὶ δέκα, καὶ εἴκοσι, καὶ τριάκοντα, οὐκ ἀντιλέγουσι· καίτοι τί τῆς ἀργίας ἐκείνης χαλεπώτερον; Τὰς θύρας ἀποκλείουσι καὶ οὔτε πῦρ καίουσιν, οὐχ ὕδωρ φέρουσιν, οὐκ ἄλλο τι πρὸς τὴν χρείαν τὴν τοιαύτην μεταχειρίζειν ἀφίενται· ἀλλ᾽ ἔστιν ἄλυσις αὐτοῖς ἡ ἀργία καὶ οὐδὲ οὕτως ἀντιλέγουσιν. Ἐγὼ δὲ οὐδὲν τοιοῦτον λέγω, ὅτι « Ἑπτὰ ἡμέρας ἄργησον », οὐδὲ « δέκα ἡμέρας », ἀλλὰ « δύο μοι δάνεισον ὥρας τῆς ἡμέρας, καὶ τὰς λοιπὰς αὐτὸς ἔχε »· καὶ οὐδὲ τοῦτό μοι τὸ μέτρον εἰσφέρεις. Μᾶλλον δὲ μὴ ἐμοὶ δανείσῃς τὰς δύο ὥρας, ἀλλ᾽ ἑαυτῷ, ἵνα παράκλησίν τινα εὐχῆς δέξῃ πατέρων, ἵνα εὐλογιῶν πεπληρωμένος ἀναχωρήσῃς, ἵνα πανταχόθεν ἀσφαλὴς ἀπέλθῃς, ἵνα τὰ ὅπλα λαβὼν τὰ πνευματικὰ ἀκαταγώνιστος γένῃ, καὶ ἀχείρωτος τῷ διαβόλῳ. Τί ἥδιον, εἰπέ μοι, τῆς ἐνταῦθα διαγωγῆς; Εἰ γὰρ διημερεύειν ἐνταῦθα ἐχρῆν, τί σεμνότερον; Τί ἀσφαλέστερον, ὅπου ἀδελφοὶ τοσοῦτοι, ὅπου πατέρες τοσοῦτοι, ὅπου τὸ Πνεῦμα τὸ ἅγιον, ὅπου Ἰησοῦς μέσος[18], καὶ ὁ τούτου Πατήρ; Ποίαν ἑτέραν ζητεῖς συναγωγὴν τοιαύτην, ποῖον ἕτερον βουλευτήριον, ποίαν σύνοδον; Τοσαῦτα ἀγαθὰ ἐν τῇ τραπέζῃ, ἐν τῇ ἀκροάσει, ἐν ταῖς εὐλογίαις, ἐν ταῖς εὐχαῖς, ἐν ταῖς συνουσίαις· καὶ σὺ πρὸς ἑτέρας βλέπεις διατριβάς; Καὶ ποίαν ἔχεις συγγνώμην;

Ταῦτα οὐχ ἵνα ὑμεῖς ἀκούσητε εἶπον· οὐ γὰρ χρείαν ἔχετε τῶν φαρμάκων τούτων ὑμεῖς, οἱ διὰ τῶν ἔργων ἐπιδειξάμενοι τὴν ὑγίειαν, τὴν ὑπακοήν, οἱ διὰ τῆς

[17] cf. Ac 7, 51
[18] cf. Mt 18, 20

**[Ms. *V J (usque ad l. 371,* ἀμφιβάλλειν*) $P_1$ (usque ad l. 13,* ὥσπερ*, et a l. 84,* δαπα]νωμένην*, usque ad l. 120,* ὅπου τὸ*) I (usque ad l. 313,* οὐ γὰρ*) T G H (plane usque ad l. 84, deinde partim) K B (plane usque ad l. 155, deinde partim) $W_1$ (partim)*]** 107 παντὸς ] πάντως *G*, πάντων *Patr.*, πάντες *B* || 108 ἑπτὰ ἡμέρας ] ἡμέρας ἑπτὰ *K* || 109 ἀντιλέγουσι ] ἀντιλέγουσιν *B* || 109 ἀργίας *I T G H B* ] ἐργασίας *V J $P_1$ K* || 110 πρὸς ] τῶν *praem. B* || 111 ἀφίενται ] ἐφίενται *I T Patr.* || 112 οὐδὲν τοιοῦτον ] τοιοῦτον οὐδὲν *B* || 112 ὅτι ] *om. B $W_1$* || 113 οὐδὲ ] *om. B* || 113 δάνεισον ὥρας ] ὥρας δάνεισον *K* || 114 ἡμέρας ] μόνον *add. B* || 114 καὶ ] *om. B* || 115 ἀλλ᾽ ἑαυτῷ ] ἀλλὰ σαυτῷ *V*, ἀλλὰ αὑτῷ *B* || 115 παράκλησίν ] παράκλησις *B* || 115–116 τινα εὐχῆς ] ἵνα εὐχὰς *B* || 116 ἀναχωρήσῃς *V I T G H K B* ] ἀναχωρήσις *$J^{ac}$ $P_1$* || 117 ἀσφαλὴς ἀπέλθῃς ] ἀσφαλὴς ἐξέλθῃς *V*, ἀσφαλισθεὶς ἀναχωρήσῃς *B* || 118 καὶ ] *om. $W_1$ Patr.* || 118 ἥδιον ] ἡδύτερον *H Patr.* || 119 σεμνότερον ] τί πρεπεδέστερον *add. B* || 120 ὅπου πατέρες τοσοῦτοι ] *om. B Patr.* || 120 τοσοῦτοι ] *om. T K* || 121 ζητεῖς συναγωγὴν τοιαύτην ] ἐζήτεις συνουσίαν *B* || 124 ἔχεις ] ἕξῃς *G*, ἕξεις *K*, ἔχοις *B* || 125 οὐχ ἵνα ] *add. $T^{mg}$* (*al. man.*) || 125 τῶν φαρμάκων ] *om. V* || 126 οἱ ] *om. V* || 126 τὴν ὑπακοὴν ] *om. B*

**[Trad. indirecta]** 116 ἵνα¹ ] *eo uerbo inc. excerptum tertium apud t* || 116 εὐλογιῶν ] *t legi nequit* || 116 πεπληρωμένος ] *t legi nequit* || 116 ἀναχωρήσῃς ] ***χωρήσει *t* || 117 ἵνα τὰ ] *om. t* || 118 καὶ ] *om. t* || 118 ἥδιον ] ἡδύτερον *t* || 118 εἰπέ μοι ] *om. t* || 118–119 εἰ – ἐχρῆν ] *om. t* || 120 ὅπου πατέρες τοσοῦτοι ] *om. t* || 120 μέσος ] μεσῶν κηρύττεται *t* || 121 καὶ ] ὅπου *t* || 121 πατήρ ] μεγαλύνεται *add. t* || 121 ζητεῖς συναγωγὴν ] συναγωγὴν ζητεῖς *t* || 121 ποῖον ἕτερον ] ποίαν ἑτέραν (*sic*) *t* || 122 ποίαν ] *om. t* || 122 σύνοδον ] ἐπιζητεῖς *add. t* || 122–123 τοσαῦτα – σὺ ] *om. t* || 123 πρὸς ] ἐπὶ *t* || 123–124 βλέπεις διατριβάς ] διατριβὰς ἐπιβλέπεις *t* || 124 συγγνώμην ] *hic des. excerptum tertium apud t*

σπουδῆς τὸν πόθον ἁπλώσαντες· ἀλλ’ εἶπον ταῦτα πρὸς ὑμᾶς ἵνα ἀκούσωσιν οἱ μὴ παρόντες δι’ ὑμῶν. Μὴ εἴπητε ὅτι κατηγόρησε τῶν μὴ παραγενομένων ἁπλῶς, ἀλλ’ ὅλον ἄνωθεν αὐτοῖς διηγήσασθε τὸν λόγον. Ἀναμνήσατε αὐτοὺς τῶν Ἰουδαίων, ἀναμνήσατε αὐτοὺς τῶν βιωτικῶν πραγμάτων· εἴπατε πόσῳ βελτίων ἡ ἐνταῦθα σύναξις, εἴπατε πόσην σπουδὴν περὶ τὰ τοῦ κόσμου πράγματα ἐπιδείκνυνται, εἴπατε πόσος μισθὸς ἕπεται τοῖς ἐνταῦθα συλλεγομένοις. Ἂν γὰρ μόνον εἴπητε ὅτι κατηγόρησα· μὴ εἴπητε δὲ πῶς κατηγόρησα· τὸν μὲν θυμὸν ἠγείρατε καὶ τὸ τραῦμα εἰργάσασθε, τὸ δὲ φάρμακον οὐκ ἐπεθήκατε· ἂν δὲ διδάξητε αὐτοὺς ὅτι οὐχ ὡς ἐχθρὸς κατηγόρησα, ἀλλ’ ὡς φίλος ὀδυνώμενος, καὶ πείσητε αὐτοὺς ὅτι *ἀξιοπιστότερα τραύματα φίλων ἢ ἑκούσια φιλήματα ἐχθρῶν*[19], δέξονται μετὰ πολλῆς ἡδονῆς τὴν κατηγορίαν· οὐ γὰρ τοῖς ῥήμασιν, ἀλλὰ τῇ γνώμῃ τοῦ λέγοντος προσέξουσιν. Οὕτω θεραπεύετε τοὺς ἀδελφοὺς τοὺς ὑμετέρους. Ἡμεῖς τῆς σωτηρίας ὑπεύθυνοι τῶν παρόντων ὑμῶν, ὑμεῖς τῆς τῶν ἀπολειφθέντων. Οὐ δυνά|μεθα αὐτοῖς συγγενέσθαι δι’ ἑαυτῶν· συγγενώμεθα αὐτοῖς δι’ col. 71 ὑμῶν καὶ τῆς ὑμετέρας διδασκαλίας· γέφυρά τις ἡμῖν γενέσθω πρὸς ἐκείνους ἡ ὑμετέρα ἀγάπη· ποιήσατε τοὺς ἡμετέρους λόγους διὰ τῆς ὑμετέρας γλώττης διαβῆναι πρὸς τὴν ἐκείνων ἀκρόασιν. Τάχα αὐτάρκως εἴρηται ἕνεκεν τῶν ἀπολειφθέντων τὰ εἰρημένα, καὶ οὐδὲν δεῖ πλέον προσθεῖναι.

Ἐνῆν μὲν καὶ πλείονα εἰπεῖν, ἀλλ’ ἵνα μὴ τὸν καιρὸν ἅπαντα εἰς τοῦτο καταδαπανήσωμεν ἐκείνων μὲν κατηγοροῦντες, ὑμᾶς δὲ μηδὲν ὠφελοῦντες τοὺς παραγενομένους, φέρε τι καὶ ὑμῖν παραθῶμεν ξένον ὄψον καὶ καινόν, λέγω, οὐ κατὰ τὴν πνευματικὴν τράπεζαν, ἀλλὰ ξένον κατὰ τὴν ὑμετέραν ἀκρόασιν.

**γʹ**. Διελέχθημεν ὑμῖν ἀπὸ τῶν ἀποστολικῶν ῥημάτων ἐν ταῖς ἔμπροσθεν ἡμέραις καὶ ἀπὸ τῶν εὐαγγελικῶν, ὅτε περὶ τοῦ Ἰούδα διελεγόμεθα· διελέχθημεν ὑμῖν καὶ ἀπὸ προφητικῶν· σήμερον βουλόμεθα ἀπὸ τῶν Πράξεων τῶν ἀποστό-

[19] Pr 27, 6

**[Ms. *V J (usque ad l. 371,* ἀμφιβάλλειν*) $P_1$ (usque ad l. 13,* ὥσπερ*, et a l. 84,* δαπα]νωμένην*, usque ad l. 120,* ὅπου τὸ*) I (usque ad l. 313,* οὐ γὰρ*) T G H (plane usque ad l. 84, deinde partim) K B (plane usque ad l. 155, deinde partim) $W_1$ (partim)*]** 127 ἁπλώσαντες ] δηλώσαντες *B* || 128 οἱ μὴ παρόντες ] ἐκεῖνοι *post* ὑμῶν *transp. B* || 128 κατηγόρησε ] κατηγόρησα *Patr.* || 129 διηγήσασθε ] διηγήσασθαι *$K^{ac}$ B* || 130 ἰουδαίων ] ἰουδαικῶν *B* || 130–131 πόσῳ βελτίων *J I T H $K^{pc}$* ] πόσον βέλτιον *V G $K^{ac}$*, πόσῳ βέλτιον *B* || 132 ἐπιδείκνυνται ] δείκνυνται *B* || 132 συλλεγομένοις ] συλλομένοις *V* || 133 εἴπητε ] εἴπης *B* || 133 μὴ εἴπητε δὲ πῶς κατηγόρησα ] *om. H Patr.* || 133 εἴπητε ] εἴπης *B* || 134 ἠγείρατε ] ἤγειρας *B* || 134 τὸ ] *om. Patr.* || 134 εἰργάσασθε ] εἰργάσω *B* || 134 ἐπεθήκατε ] ἐπέθηκας *B* || 134–135 διδάξητε ] διδάξης *B* || 136 πείσητε ] πείσης *B* || 136 ἑκούσια ] ἀκούσια *V J I T K Z* || 137 δέξονται ] δέξωνται *G* || 138 οὕτω ] οὗ *J* || 138–139 τοὺς ὑμετέρους ] *om. B* || 138–139 ὑμετέρους ] ἡμετέρους *V* || 139 ὑμεῖς ] ἡμεῖς *B* || 140 αὐτοῖς ] *om. B* || 142 ἡμετέρους *V J I G B* ] ὑμετέρους *T H K Patr.* || 145 ἐνῆν ] ἔνειν *B* || 145 μὲν *V J I T H K* ] γὰρ *add. G B* || 145 καὶ ] *om. K Patr.* || 145–146 καταδαπανήσωμεν ] δαπανήσωμεν *K* || 146 ἐκείνων μὲν ] *om. H Patr.* || 146 ἐκείνων ] *iterau. B* || 146 ὑμᾶς ] ὑμεῖς *$K^{ac}$* || 146–147 τοὺς παραγενομένους ] παραγενομένους αὐτοὺς *Patr.* || 147 τι ] *om. G* || 147 καὶ ὑμῖν ] *om. B* || 147 λέγω *V J I T B* ] ξένον δὲ καὶ καινὸν *praem. H, om. G K* || 147 οὐ κατὰ ] οὐκ ἀπὸ *G* || 150 τῶν εὐαγγελικῶν ] τοῦ εὐαγγελίου *B* || 150 **γʹ**. διελεγόμεθα ] διαλεγόμεθα *T* || 151 προφητικῶν ] τῶν *praem. G* || 151 σήμερον ] δὲ *add. G* || 151 βουλόμεθα ] βούλομαι *B* || 151–152 ἀποστόλων ] ἀποστολικῶν *B*

λων εἰπεῖν. Διὰ τοῦτο εἶπον τὸ ὄψον ξένον. Οὐ ξένον μὲν ὅτι τῆς ἀκολουθίας ἐστὶ τῶν θείων γραφῶν, ξένον δὲ διότι τάχα ἀήθης ὑμῖν ἡ ἀκοὴ πρὸς τὴν τοιαύτην ἀκρόασιν. Πολλοῖς γοῦν τὸ βιβλίον τοῦτο οὐδὲ γνώριμόν ἐστι, πολλοῖς δὲ δοκοῦν σαφὲς εἶναι, πάλιν παρεωρᾶτο· καὶ γίνεται τοῖς μὲν ἡ γνῶσις, τοῖς δὲ ἡ ἄγνοια ῥᾳθυμίας ὑπόθεσις. Ἵν' οὖν καὶ οἱ ἀγνοοῦντες μάθωσι, καὶ οἱ νομίζοντες σαφῶς εἰδέναι ὅτι πολὺ βάθος νοημάτων ἔχει, ἀναγκαῖον ἀμφοτέρων διορθώσασθαι τὴν ῥᾳθυμίαν σήμερον. Δεῖ δὲ πρότερον μαθεῖν τίς τὸ βιβλίον ἔγραψεν. Αὕτη γὰρ ἀρίστης ἐρεύνης ἀκολουθία, πρότερον τὸν γράψαντα ἰδεῖν, εἰ ἄνθρωπός ἐστιν, ἢ Θεός· κἂν μὲν ἄνθρωπος, παρακρουσώμεθα· « *Μὴ καλέσητε* γάρ, φησί, "*διδάσκαλον" ἐπὶ τῆς γῆς*[20] »· ἂν δὲ Θεός, δεξώμεθα· ἄνω γὰρ τὸ διδασκαλεῖόν ἐστι τὸ ἡμέτερον. Καὶ γὰρ τοιοῦτον τὸ ἀξίωμα τοῦ θεάτρου τούτου, μηδὲν παρὰ ἀνθρώπων μανθάνειν, ἀλλὰ παρὰ Θεοῦ δι' ἀνθρώπων. Δεῖ τοίνυν ἐξετάσαι τίς ὁ γράψας καὶ πότε ἔγραψε καὶ περὶ τίνων καὶ τίνος ἕνεκεν τῇ ἑορτῇ ταύτῃ νενομοθέτηται αὐτὸ ἀναγινώσκεσθαι. Τάχα γὰρ οὐκ ἀκούετε διὰ παντὸς τοῦ ἔτους ἀναγινωσκομένου τοῦ βιβλίου. Καὶ γὰρ καὶ τοῦτο χρήσιμον. Καὶ μετὰ τοῦτο ζητῆσαι χρὴ τίνος ἕνεκεν ταύτην ἔχει τὴν ἐπιγραφὴν « Πράξεις ἀποστόλων ».

Οὐδὲ γὰρ τὰς ἐπιγραφὰς ἁπλῶς παριέναι χρή, οὐδὲ εὐθέως εἰς τὴν ἀρχὴν ἐμβαλλεῖν τῆς συγγραφῆς, ἀλλὰ πρότερον ὁρᾶν τὴν προσηγορίαν τοῦ βιβλίου. Καθάπερ γὰρ ἐφ' ἡμῶν ἡ κεφαλὴ γνωριμώτερον ποιεῖ τὸ λοιπὸν σῶμα, καὶ ἡ ὄψις ἄνωθεν ἐπικειμένη φανερώτερον αὐτὸ ἐργάζεται, οὕτω καὶ ἡ ἐπιγραφὴ ἄνωθεν πρὸ τῆς ὑφῆς ἐπικειμένη ἐπὶ τοῦ μετώπου καταφανέστερον ἡμῖν ποιεῖ τὸ λοιπὸν τῆς γραφῆς. Οὐχ ὁρᾶτε καὶ ἐπὶ τῶν εἰκόνων τοῦτο τῶν βασιλικῶν, ὅτι ἄνω κεῖται μὲν ἡ εἰκών, καὶ τὸν βασιλέα ἔχει ἐγγεγραμμένον· κάτω δὲ ἐν τῇ χοίνικι ἐπιγέγραπται τοῦ βασιλέως τὰ τρόπαια, ἡ νίκη, τὰ κατορθώματα; Οὕτω δὴ καὶ ἐπὶ τῶν γραφῶν ἔστιν ἰδεῖν. Γέγραπται μὲν ἡ εἰκὼν ἡ βασιλικὴ ἄνωθεν· κάτωθεν δὲ ἐπιγέγραπται ἡ νίκη, τὰ τρόπαια, τὰ κατορθώματα πάντα. Οὕτω καὶ ἐπιστολὴν ὅταν δεξώμεθα ποιοῦμεν· οὐκ εὐθέως διαλύομεν τὸν δε|σμόν, οὐδὲ col. 72
εὐθέως τὰ ἐγκείμενα ἔνδοθεν ἀναγινώσκομεν· ἀλλὰ πρότερον ἔξωθεν τὴν ἐπι-

[20] Mt 23, 8–9

**[Ms. *V J (usque ad l. 371,* ἀμφιβάλλειν*) $P_1$ (usque ad l. 13,* ὥσπερ*, et a l. 84,* δαπα]νωμένην*, usque ad l. 120,* ὅπου τὸ*) I (usque ad l. 313,* οὐ γὰρ*) T G H (plane usque ad l. 84, deinde partim) K B (plane usque ad l. 155, deinde partim) $W_1$ (partim)*]** 152 τὸ ] ὅτι K || 152 ξένον ] καὶ *praem. B*, καὶ οὐ ξένον *add. B Patr.* || 152 ἐστὶ ] *om. B* || 153 διότι ] ὅτι *B* || 153 τάχα ] om. J || 153 ὑμῖν ] ἡμῖν *V* || 153 τοιαύτην ] *om. B* || 154 τοῦτο ] *om. B* || 155 παρεωρᾶτο ] παρορᾶται *Patr.* || 157 σαφῶς ] σαφὲς *V* || 157 ἔχει ] ἔχῃ $K^{ac}$ *Z* || 158 σήμερον ] τήμερον *Patr.* || 158 πρότερον ] πρῶτον *K* || 159 ἀρίστης ] ἄριστος *G* || 160 θεός ] ὁ *praem. Patr.* || 160 παρακρουσώμεθα ] παρακρουσόμεθα $T^{ac}$ || 161 ἄνω ] ἄνωθεν *Patr.* || 161–162 τὸ διδασκαλεῖόν ἐστι ] ἐστι τὸ διδασκαλεῖον *Patr.* || 165 αὐτὸ ] αὐτῷ *J* || 170 ἐμβαλλεῖν ] ἐμβαλεῖν *Patr.* || 171 ποιεῖ ] *J legi nequit* || 172 ἐπικειμένη ] αὐτῷ *praem. K* || 172 φανερώτερον ] φανερὸν *Patr.* || 173 ἐπικειμένη ] κειμένη *V* || 174 εἰκόνων τοῦτο τῶν βασιλικῶν ] βασιλικῶν τοῦτο εἰκόνων *G* || 175 ἐγγεγραμμένον ] ἐγγεγραμμένων $J^{ac}$ || 175 τῇ ] τῆς $T^{pc}$ || 176 χοίνικι *I T H B* ] φοινίκῃ *V*, χοινίκῃ *J G K* || 178 πάντα ] *om. Patr.* || 180 ἔνδοθεν ] ἔνδον *K* || 180 ἔξωθεν τὴν ] τὴν ἔξωθεν *Patr.*

γραφὴν ἐπερχόμεθα καὶ ἐξ ἐκείνης μανθάνομεν καὶ τὸν πέμψαντα καὶ τὸν ὀφείλοντα ὑποδέξασθαι.

Καὶ πῶς οὖν οὐκ ἄτοπον ἐν μὲν τοῖς βιωτικοῖς τοσαύτῃ κεχρῆσθαι σπουδῇ καὶ μὴ θορυβεῖσθαι, μηδὲ ταράττεσθαι, ἀλλὰ κατὰ τάξιν ἕκαστον ἐπιέναι· ἐνταῦθα δὲ ἀσχάλλειν καὶ εὐθέως ἐπιπηδᾶν τῇ ἀρχῇ; Βούλει μαθεῖν ὅση τῆς ἐπιγραφῆς ἡ ἰσχύς, ὅση δύναμις, ὅσος ἀπόκειται θησαυρὸς ἐν ταῖς ἐπιγραφαῖς τῶν γραφῶν; Ἀκούσατε ἵνα μὴ καταφρονῆτε τῆς ἐπιγραφῆς τῶν θείων βιβλίων.

Εἰσῆλθεν εἰς τὰς Ἀθήνας ὁ Παῦλός ποτε· ἐν αὐτῷ τῷ βιβλίῳ αὕτη γέγραπται ἡ ἱστορία· εὗρεν ἐν τῇ πόλει οὐχὶ βιβλίον θεῖον, ἀλλὰ βωμὸν ἑστηκότα, βωμὸν εἰδώλων· εὗρεν ἐπιγραφὴν οὕτως ἔχουσαν *ΑΓΝΩΣΤΩ ΘΕΩ*[21]· καὶ οὐ παρέδραμεν, ἀλλ' ἀπὸ τῆς ἐπιγραφῆς τοῦ βωμοῦ τὸν βωμὸν καθεῖλε. Παῦλος ὁ ἅγιος, ὁ πνεύματος χάριν ἔχων, οὐ παρέδραμε βωμοῦ ἐπίγραμμα καὶ σὺ ἐπιγραφὴν γραφῶν παρατρέχεις; Ἐκεῖνος οὐκ ἀφῆκεν ἅπερ ἔγραψαν Ἀθηναῖοι οἱ εἰδωλολάτραι καὶ σὺ ἅπερ ἔγραψε τὸ Πνεῦμα τὸ ἅγιον οὐ νομίζεις εἶναι ἀναγκαῖα; Καὶ ποίαν ἔχεις συγγνώμην; Ἀλλὰ γὰρ ἴδωμεν πόσον τὸ κέρδος ἀπὸ τοῦ ἐπιγράμματός ἐστιν. Ὅταν οὖν ἴδῃς ἐπίγραμμα βωμῷ ἐγκεχαραγμένον τοσαύτην παρασχὸν τὴν ἰσχύν, μαθήσῃ ὅτι πολλῷ μᾶλλον τὰ ἐπιγράμματα τῶν θείων γραφῶν τοῦτο ποιῆσαι δυνήσεται. Εἰσῆλθεν εἰς τὴν πόλιν, εὗρε *βωμὸν ἐν ᾧ ἐπεγέγραπτο ΑΓΝΩΣΤΩ ΘΕΩ*[22]. Τί ἔδει ποιῆσαι; Ἕλληνες πάντες ἦσαν, ἀσεβεῖς πάντες. Τί οὖν ἐχρῆν ποιῆσαι; Ἀπὸ Εὐαγγελίων διαλεχθῆναι; Ἀλλὰ κατεγέλων. Ἀλλ' ἀπὸ προφητικῶν καὶ τῶν τοῦ νόμου γραμμάτων; Ἀλλ' οὐκ ἐπίστευον. Τί οὖν ἐποίησεν; Ἐπὶ τὸν βωμὸν ἔδραμε καὶ ἀπὸ τῶν ὅπλων τῶν πολεμίων αὐτοὺς ἐχειρώσατο. Καὶ τοῦτό ἐστιν, ὃ λέγει· *Ἐγενόμην τοῖς πᾶσι τὰ πάντα, τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, τοῖς*

[21] Ac 17, 23
[22] Ac 17, 23

**[Ms. *V J (usque ad l. 371,* ἀμφιβάλλειν*) $P_1$ (usque ad l. 13,* ὥσπερ*, et a l. 84,* δαπα]νωμένην*, usque ad l. 120,* ὅπου τὸ*) I (usque ad l. 313,* οὐ γὰρ*) T G H (plane usque ad l. 84, deinde partim) K B (plane usque ad l. 155, deinde partim) $W_1$ (partim)*]** 181 μανθάνομεν ] μανθάνωμεν *$K^{ac}$ G* || 184 καὶ ] *om. V J G K* || 184 μὴ *V J G K B* ] καὶ *praem. I T H Patr.* || 185 τῇ ] *T legi nequit* || 185 βούλει *V J I T G H K* ] βούλεσθε *B $W_1$ Patr.* || 185 ὅση τῆς ] ἐκείνης *$T^{pc}$* || 185–186 ἐπιγραφῆς ] γραφῆς *J* || 186 ἐπιγραφαῖς ] ἀρχαῖς *H Patr.* || 188 βιβλίῳ *V J I T G H K* ] τοῦτο *add. B $W_1$* || 188 αὕτη *I T G K* ] ταύτῃ *V J, post* ἱστορία *transp. H Patr., om. B* || 189 ἑστηκότα βωμὸν ] *om. Patr.* || 190 εἰδώλων *V J K H Patr.* ] εἰδώλου *I T G B $W_1$* || 191 ἐπιγραφῆς ] γραφῆς *G* || 192 ἐπίγραμμα ] ἐπιγραφὴν *V* || 193 οἱ *V J I T G H* ] *om. K B Patr.* || 195 ἔχεις *V J I T H B* ] ἔχῃς *G*, ἕξεις *K* || 196 ὅταν ] ἵν' *praem. B* || 196 οὖν ] om. B || 196 βωμῷ ] βωμοῦ *V* || 196 ἐγκεχαραγμένον ] ἐνκεκολομένον *B* || 196 παρασχὸν *I T* ] παρασχόντα *V J G*, παρασχῶν *H*, παρασχῶντα *$K^{ac}$*, παρέσχεν *B $W_1$* || 197 μαθήσῃ *V J I T G H K* ] μάθῃς *B*, μαθήσει *$W_1$* || 198 εὗρε ] ὁ παῦλος *praem. H Patr.* || 200 εὐαγγελίων ] εὐαγγελίου *J* || 200 ἀλλ' *V I G K H B* ] ἀλλὰ *J T* || 201 τῶν ] *om. Patr.*

**[Trad. indirecta]** 185 βούλει ] βούλεσθε *Cram., et eo uerbo inc. excerptum* || 188 βιβλίῳ ] τούτῳ *add. Cram.* || 189 ἱστορία ] αὕτη *add. Cram.* || 190 εἰδώλων ] εἰδώλου *Cram.* || 196 ὅταν ] ἵνα *praem. Cram.* || 196 οὖν ] *om. Cram.* || 196 ἐγκεχαραγμένον ] ἐγκεκολαμμένον ὅτι *Cram.* || 196 παρασχὸν ] παρέσχε *Cram.* || 197 μαθήσῃ ] μάθῃς *Cram.* || 199 πάντες ] πάντως *Cram.* || 200 κατεγέλων ] καταγέλων *Cram.* || 200 προφητικῶν ] προφητῶν *Cram.* || 201 καὶ τῶν – γραμμάτων ] *om. Cram.*

*ἀνόμοις ὡς ἄνομος*[23]. Εἶδε τὸν βωμὸν, εἶδε τὸ ἐπίγραμμα, ἀνέστη τῷ Πνεύματι. Τοιαύτη γὰρ ἡ τοῦ Πνεύματος χάρις· πάντοθεν ποιεῖ κερδαίνειν τοὺς ὑποδεχομένους αὐτήν· τοιαῦτα ἡμῶν τὰ ὅπλα τὰ πνευματικά. *Αἰχμαλωτίζοντες* γάρ, φησί, *πᾶν νόημα πρὸς τὴν ὑπακοὴν τοῦ Χριστοῦ*[24].

Εἶδε τοίνυν τὸν βωμὸν καὶ οὐκ ἐδειλίασεν, ἀλλὰ μετέστησε τὸν βωμὸν πρὸς ἑαυτόν· μᾶλλον δὲ τὰ γράμματα ἀφεὶς, μετέθηκεν αὐτοῦ τὸ νόημα. Καὶ καθάπερ ἐν πολέμῳ στρατηγὸς ἰδὼν στρατιώτην ἐν τῇ τάξει τῶν πολεμίων γενναῖον καὶ μέγαν, εἶτα λαβόμενος ἀπὸ τῆς κόμης τοῦ στρατιώτου, πρὸς τὴν ἑαυτοῦ τάξιν αὐτὸν μεταστήσειε καὶ παρασκευάσειεν ὑπὲρ αὐτοῦ πολεμεῖν· οὕτω καὶ Παῦλος ἐποίησε· καθάπερ ἐν παρατάξει πολεμίων τὸ ἐπίγραμμα εὑρὼν ἐν τῷ βωμῷ γεγραμμένον πρὸς τὴν ἑαυτοῦ τάξιν μετέστησεν, ἵνα μετὰ Παύλου τοῖς Ἀθηναίοις πολεμῇ, ἀλλ' οὐ μετὰ Ἀθηναίων τὸν Παῦλον βάλλῃ· ξίφος γὰρ ἦν τῶν Ἀθηναίων, μάχαιρα ἦν τῶν πολεμίων τὸ ἐπίγραμμα ἐκεῖνο, ἀλλ' αὕτη ἡ μάχαιρα τῶν πολεμίων τὴν κεφαλὴν ἐξέτεμεν. Οὐκ ἦν οὕτως θαυμαστόν, εἰ τοῖς οἰκείοις αὐτοῦ ὅπλοις ἐχειρώσατο· τοῦτο γὰρ κατὰ λόγον συμβαίνει· τὸ γὰρ καινὸν καὶ παράδοξον, ὅταν τὰ τῶν πολεμίων ὅπλα ταῦτα μηχανήματα τοῖς πολεμίοις προσάγηται, ὅταν τὸ ξίφος ὃ καθ' ἡμῶν βαστάζουσι τοῦτο αὐτοῖς τὴν καιρίαν ἐπαγάγῃ πληγήν. |

**δʹ**. Τοιαύτη γὰρ ἡ τοῦ Πνεύματος δύναμις. Οὕτω καὶ ὁ Δαυῒδ ἐποίησέ ποτε· col. 73
ἐξῆλθε γυμνὸς τῶν ὅπλων[25], ἵνα φανῇ γυμνὴ ἡ τοῦ Θεοῦ χάρις. « Μηδὲν γάρ,

[23] 1 Co 9, 22 ; 20 ; 21
[24] 2 Co 10, 5
[25] cf. 1 S 17, 39

**[Ms. *V J (usque ad l. 371,* ἀμφιβάλλειν*) $P_1$ (usque ad l. 13,* ὥσπερ*, et a l. 84,* δαπα]νωμένην*, usque ad l. 120,* ὅπου τὸ*) I (usque ad l. 313,* οὐ γὰρ*) T G H (plane usque ad l. 84, deinde partim) K B (plane usque ad l. 155, deinde partim) $W_1$ (partim)*]** 206 αἰχμαλωτίζοντες ] αἰχμαλωτίζων *B* || 207 πρὸς *J I T G H* ] εἰς *V B*, εἰς χριστὸν καὶ εἰς *K* || 207 τοῦ χριστοῦ ] αὐτοῦ *K* || 208 τὸν βωμὸν *V J I T G H K* ] τὰ γράμματα *B $W_1$* || 209 αὐτοῦ *V J I T G H K* ] αὐτῶν *B $W_1$* || 209 τὸ νόημα ] τὰ νοήματα *Patr.* || 210 τάξει *V J I T G H K $W_1$* ] παρατάξει *H B Patr.* || 211 καὶ μέγαν ] *om. H Patr.* || 212 αὐτὸν *V J G H K B* ] ἑαυτὸν *I T* || 212 παρασκευάσειεν *B Sav. Front. Patr.* ] παρασκευάσει *V I J T G H K*, παρασκευάσῃ *$W_1$* || 213 παῦλος ] ὁ *praem. Patr.* || 213 ἐποίησε ] ἐποίησεν V $J^{ac}$ G K || 215 πολεμῇ ] πολεμεῖ *J* || 215 ἀλλ' οὐ *V J I T G H K* ] ἀλλὰ μὴ *B $W_1$* || 215 βάλλῃ *K B* ] βάλω *V*, βάλλω *J I H*, βάλλον *$T^{pc}$*, βάλλοι *G* || 215 γὰρ *V J I T G H K* ] om. B $W_1$ || 217 οὕτως *V J I T G H K* ] οὕτω *B $W_1$ Patr.* || 218 αὐτοῦ *V J K H $W_1$* ] αὐτοὺς *I T G*, αὐτοῖς *post* ὅπλοις *transp. B* || 219 τὰ ] τῷ *G* || 220 προσάγηται ] προσάγεται *J* || 220 ὃ ] *J legi nequit* || 221 ἐπαγάγῃ *V $J^{pc}$ I T G H* ] ἐπάγῃ *K*, ἐπαγάγει *$J^{ac}$*, ἐπάγει *B $W_1$* || 222 **δʹ**. ὁ *V J I T H B* ] *om. G K* || 222 δαυῒδ ] παῦλος *G* || 223 ἡ *V H K B* ] *om. J G*, *ante* χάρις *transp. I T* || 223 μηδὲν ] *J legi nequit*

**[Trad. indirecta]** 206 αἰχμαλωτίζοντες ] αἰχμαλωτίζοντα *Cram.* || 207 πρὸς ] εἰς *Cram.* || 208 τὸν βωμὸν ] τὰ γράμματα *Cram.* || 209 ἑαυτόν ] αὐτόν *Cram.* || 209 ἀφεὶς ] ἀφ' οὗ *Cram.* || 210 τάξει ] παρατάξει *Cram.* || 212 παρασκευάσειεν ] παρασκευάσει *Cram.* || 215 πολεμῇ ] πολεμεῖ *Cram.* || 215 ἀλλ' οὐ ] ἀλλὰ μὴ *Cram.* || 215 γὰρ ] *om. Cram.* || 217 οὕτως ] οὕτω *Cram.* || 217 τοῖς ] ἐν *praem. Cram.* || 218 αὐτοῦ ] αὐτοὺς *post* ὅπλοις *transp. Cram.* || 218 συμβαίνει ] σημαίνει *Cram.* || 220 προσάγηται ] ταῦτα *praem. Cram.* || 221 ἐπαγάγῃ ] ἐπάγῃ *Cram.* || 223 γυμνὴ ] *post* χάρις *transp. Cram.*

φησίν, ἀνθρώπινον ἔστω, ὅταν Θεὸς ὑπὲρ ἡμῶν πολεμῇ[26] ». Ἐξῆλθε τοίνυν γυμνὸς τῶν ὅπλων, καὶ κατήνεγκε τὸν πύργον ἐκεῖνον[27]. Εἶτα ἐπειδὴ ὅπλα οὐκ εἶχε, δραμὼν ἥρπασε τὴν μάχαιραν τὴν τοῦ Γολιὰθ καὶ οὕτω τὴν κεφαλὴν ἐξέτεμε τὴν τοῦ βαρβάρου[28]. Οὕτω καὶ ὁ Παῦλος ἐποίησεν ἐπὶ τοῦ ἐπιγράμματος τούτου.

Καὶ ἵνα σαφέστερος γένηται ὁ τῆς νίκης τρόπος, καὶ τὴν δύναμιν ὑμῖν τοῦ ἐπιγράμματος ἐρῶ. Εὗρε *βωμὸν ἐν ᾧ ἐπεγέγραπτο ΑΓΝΩΣΤΩ ΘΕΩ*[29]. Τίς δὲ ἦν ὁ ἀγνοούμενος ἀλλ' ἢ ὁ Χριστός; Εἶδες πῶς ἐξῃχμαλώτισε τὸ ἐπίγραμμα, οὐκ ἐπὶ κακῷ τῶν γραψάντων, ἀλλ' ἐπὶ σωτηρίᾳ αὐτῶν καὶ προνοίᾳ; « Τί οὖν; Οἱ Ἀθηναῖοι διὰ τὸν Χριστὸν ἔγραψαν τοῦτό », φησιν; Εἰ διὰ τὸν Χριστὸν ἔγραψαν οἱ Ἀθηναῖοι, οὐκ ἦν οὕτω θαυμαστόν· ἀλλὰ τοῦτό ἐστι τὸ θαυμαστὸν ὅτι ἐκεῖνοι μὲν ἄλλως ἔγραψαν, οὗτος δὲ ἴσχυσεν ἄλλως αὐτὸ μεταβαλεῖν. Πρότερον ἀναγκαῖον εἰπεῖν τίνος ἕνεκεν οἱ Ἀθηναῖοι ἔγραψαν *ΑΓΝΩΣΤΩ ΘΕΩ*. Τίνος οὖν ἕνεκεν ἔγραψαν; Πολλοὺς εἶχον θεοὺς ἐκεῖνοι, μᾶλλον δὲ πολλοὺς δαίμονας· *πάντες* γὰρ *οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια*[30]· καὶ ἐπιχωρίους καὶ ξένους. Ὁρᾶτε ὅσος ὁ κατάγελως. Εἰ γὰρ Θεός ἐστιν, οὐκ ἔστι ξένος· τῆς γὰρ οἰκουμένης ἁπάσης Δεσπότης ἐστί. Τούτων τοίνυν τοὺς μὲν παρὰ πατέρων εἶχον δεξάμενοι, τοὺς δὲ ἀπὸ τῶν πλησίον ἐθνῶν, οἷον ἀπὸ Σκυθῶν, ἀπὸ Θρᾳκῶν, ἀπὸ Αἰγυπτίων· καὶ εἰ τῆς ἔξωθεν παιδεύσεως ἦτε ἔμπειροι, καὶ ταύτας ἂν ὑμῖν ἀνέγνων τὰς

[26]cf. Ex 14, 14
[27]cf. 1 S 17, 4–7
[28]cf. 1 S 17, 51
[29]Ac 17, 23
[30]Ps 96 (95), 5

**[Ms. *V J (usque ad l. 371,* ἀμφιβάλλειν*) P₁ (usque ad l. 13,* ὥσπερ, *et a l. 84,* δαπα]νωμένην, *usque ad l. 120,* ὅπου τὸ*) I (usque ad l. 313,* οὐ γὰρ*) T G H (plane usque ad l. 84, deinde partim) K B (plane usque ad l. 155, deinde partim) W₁ (partim)*]** 224 φησίν *V J I T G H K* ] *post* ἔστω *transp. B, ante* ἔστω *transp. W₁* || 224 θεὸς ] ὁ *praem. W₁* || 224 ἡμῶν ] *J legi nequit* || 224 πολεμῇ ] πολεμεῖ *J* || 225 πύργον ] *J legi nequit* || 226 ἥρπασε *K B* ] ἥρπαζε *V J*, ἥρπαξε *I T G H* || 226 τὴν *V J I T G K* ] *om. H B W₁ Patr.* || 227 οὕτω ] *J legi nequit* || 227 ὁ ] *om. Patr.* || 227 ἐπιγράμματος ] γράμματος *G* || 228 ὑμῖν *V I T H K B* ] *om. J G* || 229 εὗρε ] τοίνυν ὁ παῦλος ἐν ἀθήναις *add. H Patr.* || 230 ὁ¹ *V J I T G H K* ] ἄλλος *B W₁* || 230 ἀγνοούμενος *J I H* ] θεὸς *add. V T G K B W₁* || 230 χριστός *V J I T G H K* ] εἶδες πῶς συνέτως μετέστησε πρὸς ἑαυτὸν (τὸ ἐπίγραμμα *pro* πρὸς ἑαυτὸν *W₁*) τὸ νόημα *add. B W₁* || 230 εἶδες – ἐπίγραμμα ] *om. B* || 230 ἐξῃχμαλώτισε *I T H K B* ] ἐξαιχμαλώτισε *V J G* || 233 οἱ ] *om. K* || 233 οὕτω *I G H B* ] οὕτως *V J T K, om. W₁* || 233 θαυμαστόν *V J I T G H K* ] τὸ κατόρθωμα παύλου *add. B W₁* || 233 τὸ θαυμαστὸν *V J I T G H K* ] *ante* τοῦτό *transp. B W₁* || 234 οὗτος ] οὕτως *G* || 234 πρότερον ] δὲ *add. V* || 235 οἱ ἀθηναῖοι ἔγραψαν *V J I T G H K* ] ἔγραψαν οἱ ἀθηναῖοι *B W₁* || 235 οὖν *V J I T G H K* ] *om. B W₁* || 235 ἕνεκεν ] *om. K* || 236 ἔγραψαν ] ἀγνώστῳ Θεῷ *add. K* || 237 καὶ ] εἶχον *praem. H Patr.* || 237 ξένους *V J I T G H K* ] καθάπερ ἐπ' ἀνθρώπων *add. B W₁* || 239 δεσπότης ἐστί ] ἐστὶ δεσπότης *K* || 240 πλησίον *V J I H K* ] πλησίων *T G B W₁* || 241 ἦτε ] εἶτε V

**[Trad. indirecta]** 224 φησίν ] *post* ἔστω *transp. Cram.* || 224 θεὸς ] ὁ *praem. Cram.* || 230 ὁ¹ ] ἄλλος *Cram.* || 230 ἀγνοούμενος ] θεὸς *add. Cram.* || 230 χριστός ] εἶδες πῶς συνέτως μετέστησε πρὸς ἑαυτὸν τὸ ὄνομα *add. Cram.* || 230 ἐξῃχμαλώτισε ] ἠχμαλώτισε *Cram.* || 233 θαυμαστόν ] τὸ κατόρθωμα τοῦ παύλου *add. Cram.* || 233 τοῦτό ] *om. Cram.* || 233 ἐστι τὸ θαυμαστὸν ] τὸ θαυμαστόν ἐστιν *Cram.* || 235 οἱ ἀθηναῖοι ἔγραψαν ] ἔγραψαν οἱ ἀθηναῖοι *Cram.* || 235 οὖν ] *om. Cram.* || 237 ξένους ] καθάπερ ἐπ' ἀνθρώπων *add. Cram.*

ἱστορίας πάσας. Ἐπεὶ οὖν οὐκ ἐξ ἀρχῆς πάντας ἐδέξαντο, ἀλλὰ κατὰ μικρὸν εἰσηνέχθησαν αὐτοῖς, οἱ μὲν ἐπὶ τῶν πατέρων, οἱ δὲ ἐπὶ τῶν πάππων, οἱ δὲ ἐπὶ τῆς γενεᾶς τῆς ἑαυτῶν, συνελθόντες εἶπον πρὸς ἀλλήλους ὅτι « Ὥσπερ τούτους ἠγνοοῦμεν, φησίν, ἔπειτα ὕστερον αὐτοὺς ἐδεξάμεθα καὶ ἐγνωρίσαμεν, οὕτω συμβαίνει ἀγνοούμενον, ὄντα μὲν Θεόν, οὐ γνωριζόμενον δὲ ὑφ’ ἡμῶν· καὶ διὰ τοῦτο λανθάνει ἀμελούμενος καὶ μὴ θεραπευόμενος. » Τί οὖν ἵνα γένηται; Ἔστησαν βωμὸν καὶ ἔγραψαν *ΑΓΝΩΣΤΩ ΘΕΩ* τοῦτο λέγοντες διὰ τοῦ ἐπιγράμματος ὅτι « Καὶ εἴ τίς ἐστι θεὸς ἕτερος οὐδέπω γνωρισθεὶς ἡμῖν, κἀκεῖνον θεραπεύσωμεν ». Ὅρα ὑπερβολὴν δεισιδαιμονίας. Διὰ τοῦτο ὁ Παῦλος ἀρχόμενος ἔφη· « *Κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς* θεωρῶ[31]· οὐ γὰρ τοὺς γνωρίμους ὑμῖν δαίμονας θεραπεύετε μόνον, ἀλλὰ καὶ τοὺς οὐδέπω γνωρισθέντας ὑμῖν. » Ἐκεῖνοι μὲν διὰ τοῦτο ἐπέγραψαν *ΑΓΝΩΣΤΩ ΘΕΩ*, ὁ δὲ Παῦλος ἡρμήνευσεν Οἱ μὲν γὰρ τοῦτο περὶ ἄλλων ἔλεγον, αὐτὸς δὲ αὐτὸ μετέστησεν ἐπὶ τὸν Χριστὸν, *αἰχμαλωτίσας τὸ νόημα*[32] καὶ μεθ’ ἑαυτοῦ στήσας ἐν τῇ παρατάξει τῇ ἑαυτοῦ· « *Ὃν* γὰρ *ἀγνοοῦντες εὐσεβεῖτε* ὑμεῖς, *τοῦτον ἐγὼ καταγγέλλω*[33] », φησίν. Ἄγνωστος γὰρ Θεὸς οὐδεὶς ἄλλος ἐστὶν ἢ ὁ Χριστός.

Καὶ ὅρα *σύνεσιν πνευματικήν*[34]. Ἤμελλον αὐτῷ μετὰ ταῦτα ἐγκαλεῖν ὅτι « *Ξενίζοντα εἰσφέρεις* δόγματα *εἰς τὰς ἀκοὰς ἡμῶν*[35] », ὅτι « καινοτομεῖς[36] », ὅτι « θεὸν εἰσφέρεις ὃν οὐκ ἴσμεν. » Βουλόμενος τοίνυν ἀπαλλαγῆναι τῆς ὑποψίας

[31] Ac 17, 22
[32] 2 Co 10, 5
[33] Ac 17, 23
[34] Col 1, 9
[35] Ac 17, 20
[36] cf. Ac 17, 19 ; 21

**[Ms. *V J (usque ad l. 371,* ἀμφιβάλλειν*)* $P_1$ *(usque ad l. 13,* ὥσπερ*, et a l. 84,* δαπα]νωμένην*, usque ad l. 120,* ὅπου τὸ*) I (usque ad l. 313,* οὐ γὰρ*) T G H (plane usque ad l. 84, deinde partim) K B (plane usque ad l. 155, deinde partim)* $W_1$ *(partim)*]** 242 πάσας *J I T G H B* ] *om. V*, ἁπάσας *K* || 243 οἱ δὲ ἐπὶ τῶν πάππων ] *om. H Patr.* || 244 πρὸς ἀλλήλους *V J I T G H K* ] *om. B* $W_1$ || 245 φησίν ] φασίν *Patr.* || 245 ἔπειτα *V J I T G H K* ] εἶτα *B* $W_1$ || 246 οὕτω *I H K B* $W_1$ ] οὕτως *V J* $T^{ac}$ *G* || 246 συμβαίνει *V J I T G H K* ] καὶ ἄλλον εἶναι *add. B* $W_1$ *Patr.*, συμβαίνει εἶναι *conieci* || 246 ἀγνοούμενον ] καὶ *add. H Patr.* || 246 μὲν Θεόν ] θεὸν μέν *G* || 246 ὑφ’ ] ἐφ’ *V* || 247 ἀμελούμενος ] ἀμελούμενον *B* || 247 μὴ ] μηδὲ *Patr.* || 247 θεραπευόμενος ] θεραπευόμενον *B* || 248 ἔγραψαν *V J I T H K* ] ἐπέγραψαν *G B* $W_1$ || 251 θεωρῶ *V J I T G K* $W_1$ ] ὁρῶ *H B Patr.* || 253 ἡρμήνευσεν *V J I T G H K* ] ἑτέρως *praem. B* $W_1$ || 254 αὐτὸ *V I T G H K* $W_1$ ] *J legi nequit*, αὐτῷ *B* || 254–255 ἐπὶ – αἰχμαλωτίσας ] *om.* $W_1$ || 255 ἑαυτοῦ ] αὑτοῦ *J* || 256 ἀγνοοῦντες εὐσεβεῖτε ] ἀγνοεῖτε *V* || 256 τοῦτον ] τοῦτο $J^{ac}$ || 256 καταγγέλλω ] ὑμῖν *add. K* || 256 φησίν ] *ante* εὐσεβεῖτε *transp. K* || 256–257 ἄγνωστος – χριστός ] *om. K* || 258 ἤμελλον *V J I T K* ] ἔμελλον *G H B Patr.* || 259 εἰσφέρεις δόγματα *V J I T G H K* ] δόγματα εἰσφέρεις *K B*, δόγματα ταῦτα ἃ εἰσφέρεις $W_1$ || 260 εἰσφέρεις ] κηρύττεις *K*

**[Trad. indirecta]** 242 πάσας ] ἁπάσας *Cram.* || 243 οἱ ] ὁ *Cram.* (sic *add. in marg.*) || 244 πρὸς ἀλλήλους ] *om. Cram.* || 245 ἔπειτα ] εἶτα *Cram.* || 246 συμβαίνει ] καὶ ἄλλον εἶναι *add. Cram.* || 246 ἡμῶν ] ὑμῶν *Cram.* || 247 ἀμελούμενος ] ἀμελούμενον *Cram.* || 247 θεραπευόμενος ] θεραπευόμενον *Cram.* || 248 ἔγραψαν ] ἐπέγραψαν *Cram.* || 252 οὐδέπω ] οὔπω *Cram.* || 253 ἡρμήνευσεν ] ἑτέρως *praem. Cram.* || 254 αὐτὸ ] αὐτὸν *Cram.* || 254 ἐπὶ ] πρὸς *Cram.* || 257 οὐδεὶς ] οὐκ *Cram.* || 257 ἢ ] ἀλλ’ *praem. Cram.* || 258 ἐγκαλεῖν ] *om. Cram.* || 259 εἰσφέρεις δόγματα ] δόγματα εἰσφέρεις *Cram.*

τῆς κατὰ τὴν καινοτομίαν καὶ δεῖξαι ὅτι οὐ ξένον κηρύττει θεόν, ἀλλ’ ὃν προλαβόντες αὐτοὶ διὰ τῆς θεραπείας ἐτίμησαν, ἐπήγαγε καὶ εἶπεν ὅτι « *Ὃν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν*[37]. Ὑμεῖς με προελάβετε, φησίν· ἔφθασεν ὑμῶν ἡ θεραπεία τὸ ἐμὸν | κήρυγμα. Μὴ τοίνυν ἐμοὶ ἐγκαλεῖτε ὅτι ξένον εἰσφέρω col. 74
θεόν· *τοῦτον* γὰρ *καταγγέλλω ὃν* ὑμεῖς *ἀγνοοῦντες* θεραπεύετε, οὐκ ἀξίῳ μὲν αὐτοῦ τρόπῳ, θεραπεύετε δὲ ὅμως. Οὐ γὰρ τοιοῦτος βωμὸς ἵσταται τῷ Χριστῷ, ἀλλὰ βωμὸς ἔμψυχος καὶ πνευματικός· ἀλλ’ ἀπὸ τούτου ὑμᾶς καὶ πρὸς ἐκεῖνον ἀναγαγεῖν δύναμαι. » Οὕτω καὶ Ἰουδαῖοι τὸ παλαιὸν ἐθεράπευον. Ἀλλ’ ἀπέστησαν ἀπὸ τῆς σωματικῆς θεραπείας καὶ ἦλθον ἐπὶ τὴν πνευματικὴν οἱ πιστεύσαντες ἅπαντες. Εἶδες σοφίαν Παύλου, εἶδες σύνεσιν, εἶδες πῶς αὐτοὺς ἐχειρώσατο, οὐκ ἀπὸ Εὐαγγελίων, οὐκ ἀπὸ προφητικῶν, οὐκ ἀπὸ ῥημάτων πνευματικῶν ἀλλ’ ἀπὸ ἐπιγράμματος; Μὴ παράτρεχε τοίνυν, ἀγαπητέ, τὴν ἐπιγραφὴν τῶν θείων λογίων· ἂν μὲν νήφῃς καὶ ἐγρήγορος ᾖς[38], καὶ ἐν ἀλλοτρίοις εὑρίσκεις τι χρήσιμον· ἂν δὲ ῥᾴθυμος καὶ ἀναπεπτωκώς, οὐδὲ ἀπὸ τῶν γραφῶν ἔσται σοί τι πλέον. Ὥσπερ γὰρ ὁ εἰδὼς κερδαίνειν, πανταχόθεν κερδαίνει· οὕτω καὶ ὁ μὴ εἰδώς, κἂν θησαυρὸν εὕρῃ, κενὸς ἄπεισι.

Βούλεσθε εἴπω καὶ ἕτερόν τι τοιοῦτον ἐπιχείρημα, ὅπερ ἄλλος μὲν μεθ’ ἑτέρας ἐφθέγξατο διανοίας, ὁ δὲ εὐαγγελιστὴς πρὸς ἑαυτὸν μετέθηκε τῶν εἰρημένων τὴν δύναμιν; Οὐκοῦν προσέχετε ἵνα μάθητε ὅτι κἀκεῖνος *ᾐχμαλώτισε τὸ νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ*[39], ἵνα μάθητε ὅτι, εἰ τὰ ἀλλότρια *αἰχμαλωτίζειν* δυνάμεθα, πολλῷ μᾶλλον ἐν τοῖς οἰκείοις ἐμπορευσόμεθα καὶ κερδανοῦμεν. *Καϊ-*

[37] Ac 17, 23
[38] cf. 1 Th 5, 6 ; 1 P 5, 8
[39] 2 Co 10, 5

**[Ms. *V J (usque ad l. 371,* ἀμφιβάλλειν*) $P_1$ (usque ad l. 13,* ὥσπερ, *et a l. 84,* δαπα]νωμένην, *usque ad l. 120,* ὅπου τὸ*) I (usque ad l. 313,* οὐ γὰρ*) T G H (plane usque ad l. 84, deinde partim) K B (plane usque ad l. 155, deinde partim) $W_1$ (partim)*]** 262 αὐτοὶ ] *om. Patr.* || 262 καὶ εἶπεν ] λέγων *K* || 262–263 ἀγνοοῦντες εὐσεβεῖτε ] ἀγνοεῖτε ὑμεῖς *K* || 263 ὑμῖν *V G H B* ] *om. J I T K* || 264 ἐμοὶ *V J I T G K* ] *om. H Patr.*, μοι *B* $W_1$ || 264 ἐγκαλεῖτε ] *post* τοίνυν *transp. B* $W_1$ (*qui* ἐγκαλεῖται *scr.*) || 266 δὲ ] δ’ *G* || 266 ἵσταται ] ἵστατο *T* (*al. man.*) || 268 οὕτω ] οὕτως *T* || 271 προφητικῶν *V J I T G H B* ] προφητῶν *K* $W_1$ || 271 οὐκ ἀπὸ ῥημάτων πνευματικῶν ] *om. Patr.* || 272 ἀλλ’ ] ἀλλὰ $W_1$ *Patr.* || 272 ἐπιγράμματος ] ἀπογράμματος ὃ ἐνόμιζον *B* || 273 λογίων *V J I T G H K* ] γραφῶν *B* $W_1$ || 273 μὲν *J I T H* ] γὰρ *add. V G K B* $W_1$ || 273 ἐγρήγορος *V J I T H B* ] ἐγρηγορὼς *G*, γρήγορος *K* || 273 εὑρίσκεις *V J I T G H* ] εὑρήσεις *K B* $W_1$ || 274 ἀναπεπτωκώς *V J I T G H K* ] ᾖς *add. B*, εἷς *add.* $W_1$ || 274 γραφῶν ] θείων *praem. H Patr.* || 275 οὕτω *J I G H K* ] οὕτως *V T B* $W_1$ || 275 καὶ *V J I T G H K* ] *om. B* $W_1$ || 277 εἴπω ] *om. J* || 277 τοιοῦτον ] τοιοῦτο *T* || 279 προσέχετε ] ἀκριβῶς *add. H Patr.* || 279 ᾐχμαλώτισε ] αἰχμαλώτισεν *V* || 281–282 καϊάφας ] ὁ *praem. Patr.*

**[Trad. indirecta]** 261 δεῖξαι ] διδάξαι *Cram.* || 264 ἐμοὶ ] μοι *Cram.* || 264 ἐγκαλεῖτε ] ἐγκαλεῖ *post* τοίνυν *transp. Cram.* || 266 αὐτοῦ ] ἑαυτοῦ *Cram.* || 270 εἶδες[1] – σύνεσιν ] *om. Cram.* || 270 αὐτοὺς ἐχειρώσατο ] ἐχειρώσατο αὐτούς *Cram.* || 271 προφητικῶν ] προφητῶν *Cram.* || 273 λογίων ] γραφῶν *Cram.* || 273 μὲν ] γὰρ *add. Cram.* || 273 εὑρίσκεις ] εὑρήσεις *Cram.* || 274 ἀναπεπτωκώς ] ᾖς *add. Cram.* || 275 πανταχόθεν ] ἁπανταχόθεν *Cram.* || 275 οὕτω ] οὕτως *Cram.* || 275 καὶ ] *om. Cram.* || 276 ἄπεισι ] *hic des. excerptum apud Cram.*

*άφας ἀρχιερεὺς* ἦν *τοῦ ἐνιαυτοῦ ἐκείνου*[40]· καὶ γὰρ καὶ τοῦτο τῆς Ἰουδαϊκῆς ἐγένετο πονηρίας, κατῄσχυνον γὰρ τὸ τῆς ἱερωσύνης ἀξίωμα, ὠνητοὺς ποιήσαντες ἀρχιερέας, ἔμπροσθεν δὲ οὐχ οὕτως ἦν, ἀλλὰ τῇ τελευτῇ μόνῃ κατελύετο ἡ ἱερωσύνη τοῦ ἀρχιερέως, τότε δὲ καὶ ζῶντες παρελύοντο τῆς τιμῆς· *ἀρχιερεὺς* τοίνυν *ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου* καθώπλιζε τοὺς Ἰουδαίους κατὰ τοῦ Χριστοῦ καὶ ἔλεγεν ὅτι δεῖ τοῦτον ἀποθανεῖν, ἐγκαλεῖν μὲν οὐδὲν ἔχων, βασκανίᾳ δὲ μόνον τηκόμενος. Τοιοῦτον γὰρ ὁ φθόνος· τῶν εὐεργεσιῶν τοιαύτας ἀποδίδωσι τὰς ἀμοιβάς. Καὶ τὴν αἰτίαν διδάσκων τῆς ἐπιβουλῆς ἔλεγε· « *Συμφέρει ἵνα εἷς ἀποθάνῃ καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται*[41]. »

Τούτου τοῦ ῥήματος ἡ δύναμις ὅρα πῶς μεθ' ἡμῶν ἐγένετο, ἵνα μάθῃς ὅτι τὸ μὲν ῥῆμα ἦν τοῦ ἱερέως, τὸ δὲ νόημα ἠδυνήθη γενέσθαι πνευματικόν. « *Συμφέρει ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται.* » *Τοῦτο δὲ οὐκ* ἔλεγεν *ἀφ' ἑαυτοῦ*, φησίν, *ἀλλ'* ὅτι *ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου προεφήτευσεν ὅτι* δεῖ τὸν Χριστὸν ἀποθανεῖν, *οὐ μόνον* ὑπὲρ Ἰουδαίων, ἀλλὰ καὶ *ὑπὲρ ὅλου τοῦ ἔθνους*[42]. Διὰ τοῦτο ἔλεγεν ὅτι « *Συμφέρει ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται*[43]. » Εἶδες δύναμιν θείαν, πῶς τὴν γλῶτταν τῶν ἐχθρῶν ἀναγκάζει τὰ ὑπὲρ τῆς ἀληθείας λέγειν;

**ε'.** Ἵνα μὲν οὖν μὴ παρατρέχωμεν τὰς ἐπιγραφὰς τῶν θείων γραφῶν, ἀρκούντως καὶ ταῦτα εἴρηται, ἂν μνημονεύητε· ἐβουλόμην δὲ εἰπεῖν καὶ τίς ὁ γράψας τὸ βιβλίον καὶ πότε καὶ τίνος ἕνεκεν ἔγραψεν. Ἀλλὰ τέως ταῦτα κατέχωμεν· ἐκεῖνα δὲ εἰς τὴν ἐπιοῦσαν, ἐὰν ὁ Θεὸς θέλῃ, πάντως ὑμῖν ἀποδώσομεν.

Βούλομαι γὰρ λοιπὸν | πρὸς τοὺς νεοφωτίστους ἀγαγεῖν τὸν λόγον. Νεοφω- col. 75
τίστους δὲ λέγω, οὐχὶ τοὺς πρὸ δύο καὶ τριῶν, οὐδὲ πρὸ δέκα ἡμερῶν φωτισθέντας μόνον, ἀλλὰ καὶ τοὺς πρὸ ἐνιαυτοῦ καὶ τοὺς πρὸ πλείονος χρόνου· καὶ γὰρ καὶ τούτους οὕτω χρὴ καλεῖν. Οἱ γὰρ σπουδὴν πολλὴν ἐπιδεικνύμενοι περὶ τὴν ἑαυτῶν ψυχήν, ἔξεστι καὶ μετὰ δέκα ἔτη εἶναι νεοφωτίστους, ἐὰν τὴν νεότητα τὴν ἀπὸ τοῦ φωτίσματος ἐγγινομένην ἡμῖν διασώσωμεν. Οὐδὲ γὰρ ὁ χρόνος

[40] Jn 11, 49
[41] Jn 11, 50
[42] Jn 11, 50–52
[43] Jn 11, 50

**[Ms. *V J (usque ad l. 371,* ἀμφιβάλλειν*)* $P_1$ *(usque ad l. 13,* ὥσπερ, *et a l. 84,* δαπα]νωμένην, *usque ad l. 120,* ὅπου τὸ*) I (usque ad l. 313,* οὐ γὰρ*) T G H (plane usque ad l. 84, deinde partim) K B (plane usque ad l. 155, deinde partim)* $W_1$ *(partim)*]** 285 παρελύοντο ] παρελύετο *G* || 286 τοίνυν ὢν *J I H K B* ] ὢν τοίνυν *V T*, ὢν *G* || 286 καθώπλιζε ] ὁ καϊάφας *praem. H Patr.* || 286 τοὺς ἰουδαίους ] *post* χριστοῦ *transp. H Patr.* || 288 μόνον ] *om. Patr.* || 289 καὶ ] ὅθεν *praem. Patr.* || 289 συμφέρει ] γὰρ *add. I* || 289 *εἷς* ] ἄνθρωπος *add. H Patr.* || 290 ὅλον ] ὅλων *G* || 293 ἄνθρωπος ] *om. K* || 294 ὢν ] ἦν *Patr.* || 296 τοῦτο *V J I T G B* ] καὶ *add. H K Patr.* || 297 θείαν ] θεοῦ *H Patr.* || 300 καὶ *V J I T G B* ] *om. K H Patr.* || 300 ἂν ] ἐὰν *Patr.* || 301 ἔγραψεν *I T G H K B* ] *om. V J* || 301 ἐκεῖνα *J I* $T^{pc}$ *H K B* ] ἐκεῖνο *V G* || 302 πάντως ὑμῖν ] *om. Patr.* || 302 ἀποδώσομεν ] ἀποδώσωμεν *V* || 303 γὰρ ] τοίνυν *K* || 306 οἱ *V J G* $K^{ac}$ ] εἰ *I T H B Patr.*, τοὺς $K^{pc}$ || 306 γὰρ ] μὲν οὖν *B* || 306 σπουδὴν πολλὴν ] πολλὴν σπουδὴν *Patr.* || 306 ἐπιδεικνύμενοι *V J G* $K^{ac}$ ] ἐπιδεικνύμεθα *I T H Patr.*, ἐπιδεικνυμένους $K^{pc}$, ἐπιδεικνύμενος *B*

ποιεῖ νεοφώτιστον, ἀλλ’ ὁ βίος ὁ καθαρός· ἐνεχώρει γὰρ καὶ μετὰ δύο ἡμέρας ἀπολέσαι τὸ ἀξίωμα τῆς προσηγορίας τὸν μὴ προσέχοντα. Καὶ τούτου παράδειγμα ὑμῖν ἐρῶ, πῶς νεοφώτιστος ὤν τις εὐθέως ἀπώλεσε μετὰ δύο ἡμέρας καὶ τὴν χάριν τοῦ νεοφωτίστου καὶ τὴν τιμήν. Λέγω δὲ τὸ παράδειγμα, ἵνα ἰδόντες τὸ πτῶμα, ἀσφαλίσησθε τὴν ἑαυτῶν σωτηρίαν. Οὐ γὰρ ἀπὸ τῶν ἑστώτων ὑμᾶς μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ὑπεσκελισμένων διορθοῦσθαι χρὴ καὶ θεραπεύειν. Σίμων ὁ μάγος μετεβάλετο, φησί, *καὶ βαπτισθεὶς προσκαρτερῶν ἦν τῷ Φιλίππῳ θεωρῶν* τὰ *σημεῖα*[44]· ἀλλὰ μετ’ ὀλίγας ἡμέρας εὐθέως ἐπανῆλθεν ἐπὶ τὴν κακίαν τὴν ἑαυτοῦ, καὶ διὰ χρημάτων ἐβούλετο τὴν , δωρεὰν *B*σωτηρίαν πρίασθαι. Τί οὖν τῷ νεοφωτίστῳ φησὶ ὁ Πέτρος[45]; « *Εἰς χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα·* διὸ *δεήθητι τοῦ Κυρίου, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ κακία αὕτη*[46]. » Οὔπω ἐνέβη εἰς τοὺς ἀγῶνας καὶ εὐθέως ἔπεσεν εἰς πτῶμα ἀσύγγνωστον. Ὥσπερ οὖν ἔστι μετὰ δύο ἡμέρας πεσεῖν καὶ ἀπολέσαι τὴν προσηγορίαν τοῦ νεοφωτίστου καὶ τὴν χάριν· οὕτω καὶ μετὰ δέκα ἔτη καὶ εἴκοσι καὶ μέχρι τῆς ἐσχάτης ἡμέρας ἔστιν ἔχειν τὸ λαμπρὸν τοῦτο καὶ σεμνὸν ὄνομά τε καὶ πρᾶγμα. Καὶ τούτου μάρτυς ὁ Παῦλος ἐν γήρᾳ διαλάμψας μειζόνως.

Ἐπειδὴ γὰρ ἡ νεότης αὕτη οὐκ ἀπὸ φύσεως ἐγένετο, καὶ τὸ γῆρας τοῦτο οὐ κατὰ δρόμον ἐπέρχεται φύσεως ἀλλ’ ἑκάτερα προαιρέσεως ἐστιν ἀποτελέσματα· τῆς γὰρ προαιρέσεως ἡμεῖς ἐσμεν κύριοι, καὶ τὸ γηρᾶσαι καὶ μεῖναι νέους ἐν ἡμῖν ἐστι κείμενον. Ἐπὶ μὲν γὰρ τοῦ σώματος κἂν ἅπαντά τις ἐπισπουδάζῃ, κἂν ἅπαντά τις πραγματεύηται, καὶ μὴ κατατρίβῃ τὸ σῶμα, κἂν ποιῇ μένειν ἔνδον, κἂν μὴ κατατείνῃ τοῖς πόνοις αὐτὸ καὶ τοῖς συνεχέσιν ἔργοις, πάντως κατὰ τὸν τῆς φύσεως νόμον καὶ οὕτως αὐτὸ καταλήψεται τὸ γῆρας. Ἐπὶ δὲ τῆς ψυχῆς οὐχ οὕτως· ἀλλ’ ἂν μὴ κατατρίβῃς αὐτὴν, μηδὲ κατατείνῃς πόνοις βιωτικοῖς καὶ κοσμικαῖς φροντίσι, μένει διαπαντὸς ἀκραιφνῆ τὴν νεότητα διατηροῦσα. Οὐχ ὁρᾶτε τούτους τοὺς ἀστέρας τοὺς ἐν τοῖς οὐρανοῖς; Ἑξακισχίλια λοιπὸν ἡμῖν ἔτη φαίνουσι καὶ οὐδεὶς αὐτῶν ἀμαυρότερος γέγονεν. Εἰ δὲ ἔνθα φύσις, οὕτως ἔμεινεν ἀκμαῖον τὸ φῶς· ἔνθα προαίρεσις, οὐ πολλῷ μᾶλλον μενεῖ τοιοῦτον, οἷον ἐξ ἀρχῆς ἔλαμψε; Μᾶλλον δὲ, ἐὰν ἐθέλωμεν, οὐ τοιοῦτον μόνον μενεῖ, ἀλλὰ καὶ λαμπρότερον ἔσται, ὡς καὶ πρὸς αὐτὰς ἁμιλλᾶσθαι τὰς ἡλιακὰς ἀκτῖνας.

---

[44] Ac 8, 13

[45] cf. Ac 8, 20

[46] Ac 8, 23 ; 22

---

**[Ms. *V J (usque ad l. 371,* ἀμφιβάλλειν*) P$_1$ (usque ad l. 13,* ὥσπερ, *et a l. 84,* δαπα]νωμένην, *usque ad l. 120,* ὅπου τὸ*) I (usque ad l. 313,* οὐ γὰρ*) T G H (plane usque ad l. 84, deinde partim) K B (plane usque ad l. 155, deinde partim) W$_1$ (partim)*]** 309 ἐνεχώρει ] ἐγχωρεῖ *Patr.* || 311 ὢν τις ] *om. Patr.* || 314 ὑπεσκελισμένων ] ὑποσκελισθέντων *V* || 314 διορθοῦσθαι ] καὶ *praem. T* (*al. man.*) || 315 μετεβάλετο *V J T H B* ] μετεβάλλετο *G K* || 316 ἐπὶ ] πρὸς *G* || 316–317 κακίαν τὴν ἑαυτοῦ ] ἑαυτοῦ κακίαν *Patr.* || 317 σωτηρίαν *V J T H G* ] χάριν τοῦ θεοῦ K || 318 φησὶ *V J T G B* ] *post* οὖν *transp. H Patr.*, *post* πέτρος *transp. K* || 319 οὔπω ] οὔ *G*$^{mg}$ || 320 τοὺς ἀγῶνας ] *T legi nequit* || 320 ἔπεσεν ] *T legi nequit* || 323 τὸ ] καὶ *Patr.* || 324 ὁ ] ἀπόστολος *H Patr.* || 325–326 ἐγένετο – φύσεως ] *om. H Patr.* || 325–326 οὐ κατὰ δρόμον ] οὐκ ἀπὸ δρόμων *V* || 326 ἑκάτερα ] ἑκατέρας *H Patr.* || 326–327 ἐστιν – προαιρέσεως ] *om. H Patr.* || 331 τῆς ] *om. G* || 332 ἂν ] ἐὰν *K* || 334 τοῖς οὐρανοῖς ] τῷ οὐρανῷ *K* || 337 ἐθέλωμεν *J T H B* ] θέλωμεν *V G K*

Βούλει μαθεῖν πῶς ἔξεστι καὶ μετὰ χρόνον εἶναι νεοφωτίστους; Ἄκουσον ὁ Παῦλος τί φησι πρὸς ἀνθρώπους πρὸ πολλοῦ τοῦ χρόνου πεφωτισμένους· « *Ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ λόγον ζωῆς ἐπέχοντες εἰς καύχημα ἐμοί*[47]. »

Ἀπεδύσασθε τὸ παλαιὸν καὶ διερρωγὸς ἱμάτιον[48], ἠλείψασθε τὸ μύρον τὸ πνευματικὸν, ἐλεύθεροι πάντες ἐγένεσθε· μηδεὶς λοιπὸν ἐπὶ τὴν δουλείαν ἐπανερχέσθω τὴν προτέραν. Πόλεμός ἐστι τὰ παρόντα καὶ ἀγών. | Οὐδεὶς ἀγωνίζεται col. 76 δοῦλος, οὐδεὶς στρατεύεται οἰκέτης, ἀλλ' ἐὰν ἁλῷ δοῦλος ὤν, μετὰ τιμωρίας ἐκβάλλεται τοῦ τῶν στρατιωτῶν καταλόγου. Οὐκ ἐπὶ τῆς στρατείας δὲ ταύτης, ἀλλὰ καὶ ἐπὶ τῶν Ὀλυμπιακῶν ἀγώνων τὸ αὐτὸ τοῦτο ἔθος κρατεῖ. Μετὰ γὰρ τὰς τριάκοντα ἡμέρας τὰς ἐνταῦθα ἀναγαγόντες αὐτοὺς εἰς τὸ προάστειον περιάγουσι καὶ τοῦ θεάτρου καθημένου παντὸς βοᾷ ὁ κήρυξ· « Μή τις τούτου κατηγορεῖ; » ὥστε αὐτὸν ἀποσκευασάμενον τῆς δουλείας τὴν ὑποψίαν οὕτως εἰς τοὺς ἀγῶνας ἐμβῆναι. Εἰ δὲ ὁ διάβολος οὐ δέχεται δούλους εἰς τοὺς ἀγῶνας τοὺς ἑαυτοῦ, πῶς σὺ τολμᾷς δοῦλος γενόμενος τῆς ἁμαρτίας[49] εἰς τοὺς ἀγῶνας ἐμβῆναι τοῦ Χριστοῦ; Ἐκεῖ μὲν ὁ κήρυξ λέγει· « Μή τις τούτου κατηγορεῖ; » ἐνταῦθα δὲ ὁ Χριστὸς οὐχ οὕτω λέγει· ἀλλὰ κἂν ἅπαντες αὐτοῦ κατηγορήσωσι πρὸ τοῦ βαπτίσματος, λέγει· « Ἐγὼ δέξομαι αὐτὸν καὶ ἀποσκευάσομαι τῆς δουλείας καὶ ποιήσας ἐλεύθερον εἰς τοὺς ἀγῶνας εἰσάξω. » Εἶδες φιλανθρωπίαν ἀγωνοθέτου; Οὐ ζητεῖ τὰ πρότερα, ἀλλὰ τῶν μετὰ ταῦτα εὐθύνας ἀπαιτεῖ. Ὅτε δοῦλος ἦς, μυρίους εἶχες κατηγόρους, τὸ συνειδὸς, τὰ ἁμαρτήματα, τοὺς δαίμονας ἅπαντας. « Οὐδείς με, φησίν, ἐκείνων ἐκίνησε κατὰ σοῦ, οὐδὲ ἐνόμισά σε ἀνάξιον τῶν ἀγώνων τῶν ἐμῶν, ἀλλ' ἐδεξάμην εἰς τὰ παλαίσματα, οὐκ ἀπὸ τῆς ἀξίας τῆς σῆς, ἀλλ' ἀπὸ τῆς ἐμῆς φιλανθρωπίας. »

Μένε τοίνυν καὶ ἀγωνίζου, κἂν τρέχειν δέῃ, κἂν πυκτεύειν, κἂν παγκρατιάζειν, μὴ ἀδήλως, μηδὲ ἁπλῶς, μηδὲ εἰκῇ. Ἄκουσον ὁ Παῦλος τί ἐποίησεν· *Εὐθέως* ἀπὸ τῶν ναμάτων ἀναβάς, *εὐθέως* ἀπὸ τοῦ βαπτίσματος ἠγωνίζετο, *ἐκήρυττεν ὅτι* οὗτός ἐστιν *ὁ Υἱὸς τοῦ Θεοῦ*[50], *καὶ συνέχυνε τοὺς Ἰουδαίους*[51] ἀπὸ

[47] Ph 2, 15–16
[48] cf. Col 3, 9
[49] cf. Jn 8, 34
[50] Ac 9, 20
[51] Ac 9, 22

**[Ms. *V J (usque ad l. 371,* ἀμφιβάλλειν*) P₁ (usque ad l. 13,* ὥσπερ, *et a l. 84,* δαπα]νωμένην, *usque ad l. 120,* ὅπου τὸ*) I (usque ad l. 313,* οὐ γὰρ*) T G H (plane usque ad l. 84, deinde partim) K B (plane usque ad l. 155, deinde partim) W₁ (partim)*]** 339–340 ὁ παῦλος τί φησι ] τί φησιν ὁ παῦλος *H Patr.* || 344 παρόντα ] πράγματα *H Patr.* || 344 οὐδεὶς ] γὰρ *add. T* || 348 τὸ προάστειον ] τὸν ἀγρὸν *G* || 349 τούτου ] τούτων *K* || 351 ἐμβῆναι ] *T legi nequit*, εἰσιέναι *G* || 351 ὁ διάβολος ] *T legi nequit* || 352 πῶς ] πεσὺν *T ut uid.* (*al. man.*) || 352–353 ἐμβῆναι ] εἰσιέναι *G* || 353 κατηγορεῖ ] κατήγορος *H Patr.* || 354 οὕτω ] οὕτω *Patr.* || 354 κατηγορήσωσι *GHB* ] κατηγοροῦσι *V J*, κατηγορῶσι *TK* || 355 ἀποσκευάσομαι ] αὐτὸν *add. V* || 357 εὐθύνας ] τὰς *praem. V* || 358 κατηγόρους ] τοὺς *praem. T* || 358 τὸ συνειδὸς ] *om. V G K* || 359 με ] *om. V* || 360 ἀγώνων τῶν ἐμῶν ] ἐμῶν ἀγώνων *G* || 363 ἁπλῶς μηδὲ ] *add.* $K^{mg}$ || 363 ὁ Παῦλος τί ἐποίησεν ] τί ἐποίησεν ὁ παῦλος *H Patr.* || 363 ὁ ] om. K || 364 εὐθέως ] αὐτίκα *H Patr.*

πρώτης. Ἀλλ’ οὐ δύνασαι κηρῦξαι σὺ οὐδὲ ἔχεις διδασκαλικὸν λόγον; Οὐκοῦν δίδαξον διὰ τῶν ἔργων καὶ τῆς πολιτείας, διὰ τῆς λαμπρότητος τῶν πράξεων. « *Λαμψάτω* γὰρ, φησί, *τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς*[52]. » « Οὐ δύνασαι συγχέειν Ἰουδαίους διὰ τῆς φωνῆς; Ποίησον αὐτοὺς συγχυθῆναι διὰ τῆς πολιτείας, ποίησον καὶ Ἕλληνας θορυβηθῆναι διὰ μεταβολῆς. » Ὅταν γὰρ ἴδωσι τὸν πρὸ τούτου ἀσελγῆ, τὸν πονηρόν, τὸν ἠμελημένον, τὸν ἐφθαρμένον, ἀθρόον μεταβεβλημένον, καὶ μετὰ τῆς μεταβολῆς τῆς κατὰ τὴν χάριν μεταβολὴν τὴν κατὰ τὴν πολιτείαν ἐπιδεικνύμενον, συγχυθήσονται καὶ ἐροῦσιν, ὅπερ ἐπὶ τοῦ τυφλοῦ ἔλεγον οἱ Ἰουδαῖοί ποτε· « *Οὗτός ἐστιν, οὐκ ἔστιν οὗτος, αὐτός ἐστι*[53]. » Συγκεχυμένων γὰρ ταῦτα τὰ ῥήματα, ἀμφιβάλλειν περὶ τοῦ γνωρίμου, διαστασιάζειν πρὸς ἑαυτούς, τῷ οἰκείῳ μὴ πιστεύειν, μηδὲ τοῖς ὀφθαλμοῖς τοῖς ἑαυτῶν. Ἀπέβαλεν ἐκεῖνος τὴν πήρωσιν τὴν σωματικὴν, ἀπέβαλες σὺ τὴν πήρωσιν τὴν ψυχικὴν· ἀνέβλεψεν ἐκεῖνος εἰς τὸν ἥλιον τοῦτον· ἀνέβλεψας σὺ πρὸς τὸν *ἥλιον* τῆς *δικαιοσύνης*[54], ἐπέγνως τὸν Δεσπότην. Ἄξια τοίνυν τῆς ἐπιγνώσεως πρᾶξον, ἵνα καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχῃς, χάριτι καὶ φιλανθρωπίᾳ[55] τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ’ οὗ ἡ δόξα τῷ Πατρί, σὺν τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[52] Mt 5, 16
[53] Jn 9, 8–9
[54] Ml 3, 20
[55] cf. Tt 3, 4

**[Ms. *V J (usque ad l. 371,* ἀμφιβάλλειν*) $P_1$ (usque ad l. 13,* ὥσπερ*, et a l. 84,* δαπα]νωμένην*, usque ad l. 120,* ὅπου τὸ*) I (usque ad l. 313,* οὐ γὰρ*) T G H (plane usque ad l. 84, deinde partim) K B (plane usque ad l. 155, deinde partim) $W_1$ (partim)*]** 369 τοῖς ] *om. K* || 371 μεταβολῆς ] τῆς *praem. Patr.* || 372 ἐφθαρμένον *J T G K B* ] διεφθαρμένον *V H Patr.* || 374 ἐπιδεικνύμενον ] ἐνδεικνύμενον *Patr.* || 374 συγχυθήσονται ] οὐ *praem. Patr.* || 375 ἔλεγον οἱ ἰουδαῖοί ] οἱ ἰουδαῖοι ἔλεγόν *Patr.* || 375 οἱ ] *om. K* || 375 ποτε ] *om. V* || 376–377 διαστασιάζειν – οἰκείῳ ] *om. K* || 376–377 διαστασιάζειν *B $W_1$ Front. Patr.* ] διστάζειν *V T G*, διστασιάζειν *H* || 377 οἰκείῳ *V T G H* ] συνειδότι *add. B $W_1$ Front. Patr.* || 377 μὴ ] καὶ *praem. K* || 377 ὀφθαλμοῖς τοῖς ἑαυτῶν ] ἑαυτῶν ὀφθαλμοῖς *H Patr.* || 378 πήρωσιν τὴν σωματικὴν ] σωματικὴν πήρωσιν *H Patr.* || 378–379 πήρωσιν τὴν ψυχικὴν *V K B* ] ψυχικὴν πήρωσιν *T G H Patr.* || 379 ἀνέβλεψας ] ἀνάβλεψον *Patr.* || 380 τῆς ἐπιγνώσεως πρᾶξον ] πρᾶξον τῆς ἐπιγνώσεως *H Patr.* || 382 χριστοῦ ] δι’ οὗ καὶ *add. Patr.* || 382 ἡ δόξα *V T G H* ] δόξα *post* πατρὶ *transp. B $W_1$ Patr.*, δόξα *post* πνεύματι *transp. K* || 382 πατρί ] τιμὴ κράτος *add. K Patr.* || 382 σὺν ] ἅμα *B $W_1$ Front. Patr.* || 382 τῷ *V H K B* ] *om. T G* || 382 ἁγίῳ ] καὶ ζωοποιῷ καὶ προσκυνητῷ θείῳ *add. H* || 383 νῦν – καὶ *G K H* ] *om. V T B* || 383 καὶ ] τε *praem. H*

# Homélie 2 : *Conspectus siglorum*

## *Traditio directa*

$A_1$ **Athêna**, Ethnikê Bibliothêkê tês Hellados, 210, *saec.* X, ff. 18–29

$A_2$ **Athêna**, Ethnikê Bibliothêkê tês Hellados, 211, *saec.* IX-X, ff. 190–199$^v$

$A_3$ **Athêna**, Ethnikê Bibliothêkê tês Hellados, 212, *saec.* IX-X, ff. 4–10$^v$

*G* **Genova**, Biblioteca Franzoniana, *Urbani* 13, *saec.* XI, ff. 99$^v$–109

*I* **Istanbul**, Patriarkhikê Bibliothêkê, Theol. Skholê, Uncatal. Section, 26, *saec.* X-XI, ff. 113–121$^v$

*Y* **Moskva**, Gosudarstvennyj Istoričeskij Musej, *Synod. gr.* 128, *saec.* X, ff. 27–33$^v$

*H* **München**, Bayerische Staatsbibliothek, *Cod. graec.* 6, *saec.* XI, ff. 137–146

*K* **Oxford**, Bodleian Library, *Holkham. gr.* 41, *saec.* X-XI, ff. 7$^v$–26

*T* **Torino**, Biblioteca Nazionale Universitaria, B. I. 10, *saec.* XI, ff. 61–70

*Va* **Città del Vaticano**, Biblioteca Apostolica Vaticana, *Vaticanus gr.* 560, *saec.* X, ff. 260–270

*U* **Venezia**, Biblioteca Nazionale Marciana, *Gr.* Z 111, *saec.* XI, ff. 287–292

## *Editiones*

*Sav.* Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ... τοῦ Χρυσοστόμου τῶν εὑρισκομένων ... Δι’ ἐπιμελείας καὶ ἀναλωμάτων Ἐρρίκου τοῦ Σαβιλίου ..., Etonae 1612, t. V, pp. 274–282

*Front.* *Joannis Chrysostomi opera omnia ... cura Frontonis Ducaei*, Parisiis 1621, t. V, pp. 166–181

*Patr.* *Patrologia Graeca* 51, Parisiis 1862, col. 77–88

## *Traditio indirecta*

*p* **Paris**, Bibliothèque Nationale de France, *Suppl. gr.* 1275, *saec.* XII, ff. 117$^v$–118$^r$ (*exc.*)

$ecl^{23}$ *Ecloga* 23 : *De eleemosyna et hospitalitate*, *PG* 63, 715–732

**Tit.** Τοῦ αὐτοῦ. Ὁμιλία λεχθεῖσα συνάξεως διὰ χρόνου ἐν τῇ παλαιᾷ ἐκκλησίᾳ γενομένης ἣ λέγεται ὑπὸ τῶν ἀποστόλων οἰκοδομεῖσθαι καὶ εἰς τὴν ἐπιγραφὴν τῶν Πράξεων τῶν ἀποστόλων καὶ ὅτι χρησιμώτερον βίος ἐνάρετος σημείων καὶ θαυμάτων καὶ ὅτι διαφέρει πολιτεία σημείων.

**α'.** Διὰ χρόνου πολλοῦ πρὸς τὴν μητέρα ἡμῶν ἐπανήλθομεν πάλιν, τὴν ποθει- col. 77
νὴν καὶ ἐπέραστον ταύτην ἅπασιν ἐκκλησίαν, πρὸς τὴν μητέρα ἡμῶν καὶ τῶν ἐκκλησιῶν ἁπασῶν. Μήτηρ μὲν γὰρ ἡμῶν καὶ ἡ μείζων ἐκκλησία, ἀλλ' αὕτη κακείνης μήτηρ, οὐχ ὅτι τῷ χρόνῳ μόνον πρεσβυτέρα ἐστίν, ἀλλ' ὅτι καὶ ὑπὸ ἀποστολικῶν ἐθεμελιώθη χειρῶν[56]· διὰ τοῦτο πολλάκις πεσοῦσα πολλάκις ἀνέστη καὶ κατασκαφεῖσα διὰ τὸ ὄνομα τοῦ Χριστοῦ πάλιν ὠρθώθη διὰ τῆς δυνάμεως τοῦ Χριστοῦ. Οὐ γὰρ αἱ ἀποστολικαὶ μόνον αὐτὴν ἐθεμελίωσαν χεῖρες, ἀλλὰ καὶ ἡ τοῦ Δεσπότου τῶν ἀποστόλων ἐτείχισεν αὐτὴν ἀπόφασις καινῷ καὶ παραδόξῳ τειχισμοῦ τρόπῳ. Οὐ γὰρ ξύλα καὶ λίθους συνθεὶς οὕτως ᾠκοδόμησε τὸν περίβολον, οὐδὲ τάφρον ἔξωθεν περιελάσας καὶ σκόλοπας καταπήξας καὶ πύργους ἀναστήσας οὕτως αὐτὴν ἠσφαλίσατο, ἀλλ' ἐφθέγξατο δύο ψιλὰ ῥήματα μόνον, καὶ ταῦτα ἤρκεσεν ἀντὶ τείχους αὐτῇ καὶ πύργου καὶ τάφρου καὶ ἀσφαλείας ἁπάσης. Καὶ τίνα ἐστὶ τὰ ῥήματα ταῦτα ἃ τοσαύτην ἔχει τὴν ἰσχύν; « *Ἐπὶ τῇ πέτρᾳ ταύτῃ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν καὶ πύλαι ᾅδου οὐ κατισχύ-*

[56] cf. Ac 11, 19–26

**[Ms. *Va I* $A_1$ $A_2$ $A_3$ *Y (partim) T G H (plane usque ad l. 140, deinde partim) K U*]** 1 Tit. τοῦ αὐτοῦ *Va I* $A_1$ $A_2$ *Y G U* ] *om. K Patr.*, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἰωάννου ἀρχιεπισκόπου κωνσταντινουπόλεως (ἀρχ. κων. *om. T*) τοῦ χρυσοστόμου $A_3$ *T H* || 1 ὁμιλία ] *om.* $A_2$ *Patr.* || 1 λεχθεῖσα *Va I Y K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *T G H Patr.* || 1–2 συνάξεως – γενομένης *Va I Y K U Patr.* ] *om.* $A_1$ $A_2$ $A_3$ *T G H* || 1 ἐκκλησίᾳ ] ἐκκλησίας *U* || 2 ἣ – καὶ *Va I Y K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *T G H Patr.* || 2 οἰκοδομεῖσθαι ] οἰκοδομῆσθαι *Y*, οἰκοδομηθῆναι *K*, οἰκοδομηθεῖσα *U* || 3 χρησιμώτερον *Va I Y G K U* ] χρησιμώτερος $A_1$ $A_2$ $A_3$ *T H Patr.* || 4 ὅτι *Va I Y K U* ] κατὰ τί $A_1$ $A_2$ $A_3$ *T G H Patr.* || 1 **α'**. πολλοῦ *Va I Y G K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *T H Patr.* || 1 ἡμῶν $A_1$ $A_2$ $A_3$ *T G H K Patr.* ] *om. Va I Y U* || 1 ἐπανήλθομεν ] ἐπανήλθωμεν $A_2$ || 1 πάλιν ] *om.* $A_2$ || 2 ἅπασιν $A_1$ $A_2$ $A_3$ *T G H K Patr.* ] *om. Va I Y U* || 3 μὲν *Va* $A_1$ $A_2$ $A_3$ *T G H* ] *om. I Y K U* || 3–4 ἡμῶν – μήτηρ *Va I Y K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *T G H Patr.* || 3 μείζων *I* $A_1$ $A_2$ $A_3$ *Y T G H K* ] μείζω *Va U* || 4 τῷ χρόνῳ ] τῶν χρόνων $A_2$ $A_3$ || 4 μόνον πρεσβυτέρα *Va I* ] πρεσβυτέρα μόνον $A_1$ $A_2$ $A_3$ *T G H Patr.*, μόνῳ πρεσβυτέρα *K U* || 5 ἀποστολικῶν ] ἀποστολικὸν $U^{ac}$, *corr. in textu*, τῶν ἀποστόλων *s. l. add. al. man.* || 5 ἐθεμελιώθη ] ἐτελειώθη *Y* || 5 πεσοῦσα *Va I Y K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *T G H Patr.* || 5–6 ἀνέστη *Va I* $A_2$ $A_3$ *K U* ] *om.* $A_1$ *Y T G H Patr.* || 6 κατασκαφεῖσα ] κατασφαλεῖσα $A_2$ $A_3$ || 7 αἱ *Va* $A_1$ $A_2$ $A_3$ *Y T G H K* ] *om. I U* || 7 αὐτὴν $A_1$ $A_2$ $A_3$ *T G H K Patr.* ] *om. Va I Y U* || 8 ἡ ] *post* ἀποστόλων *transp.* $A_1$ $A_2$ $A_3$ *T G H Patr.* || 8 ἀποστόλων *Va I* $A_1$ *Y T G H K U* ] ὅλων $A_2$ $A_3$ || 8 ἀπόφασις *Va I Y K U* ] *ante* ἐτείχισεν *transp.* $A_1$ $A_2$ $A_3$ *T G H Patr.* || 9 τειχισμοῦ τρόπῳ ] τρόπῳ τειχισμοῦ $A_1$ || 9 οὐ ] οὐδὲ $T^{pc}$ || 9 συνθεὶς ] συντιθεὶς *T* || 11–12 ψιλὰ ῥήματα *Va I Y K U* ] ῥήματα ψιλὰ $A_1$ $A_2$ $A_3$ *T G H Patr.* || 12 τάφρου $A_1$ $A_2$ $A_3$ *T G H K Patr.* ] τάφρων *Va I Y U* || 12 καὶ⁴ ] *om. I* || 13 ἁπάσης ] ἁπάσας $Va^{ac}$ || 13 τοσαύτην ] τοσαύτη *aut* τοσαύτῃ *G* || 14 τῇ πέτρᾳ ταύτῃ *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G H* ] ταύτῃ τῇ πέτρᾳ *K U* || 14 ἐκκλησίαν $A_1$ $A_2$ $A_3$ *T G H K* ] φησὶν *add. Va I Y U*

*σουσιν αὐτῆς*[57]. » Τοῦτο τεῖχος, τοῦτο περίβολος, τοῦτο ἀσφάλεια, τοῦτο λιμὴν καὶ καταφυγή. Σὺ δέ μοι σκόπει κἀντεῦθεν τοῦ τείχους τὸ ἀρραγές. Οὐ γὰρ εἶπεν ὅτι ἀνθρώπων ἐπιβουλαὶ *οὐ κατισχύσουσιν αὐτῆς* μόνον, ἀλλ' ὅτι οὐδὲ αὐταὶ αἱ μηχαναὶ τοῦ *ᾅδου*· « *Πύλαι* γάρ, φησίν, *ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.* » Οὐκ εἶπεν ὅτι οὐ προσβαλοῦσιν αὐτῇ, ἀλλ' ὅτι *οὐ κατισχύσουσιν αὐτῆς*· προσβαλοῦσι μὲν γάρ, οὐ περιέσονται δὲ αὐτῆς.

Ἀλλὰ τί ποτέ ἐστι « *πύλαι ᾅδου* »; Τάχα γὰρ ἀσαφὲς τὸ εἰρημένον. Μάθωμεν τί ἐστι πύλη πόλεως, καὶ οὕτως εἰσόμεθα τί ἐστι πύλη ᾅδου. Πύλη πόλεώς ἐστιν εἴσοδος ἡ εἰς τὴν πόλιν εἰσάγουσα· οὐκοῦν καὶ πύλη ᾅδου ἐστὶ κίνδυνος εἰς τὸν ᾅδην φέρων. Ὃ τοίνυν λέγει, τοιοῦτόν ἐστιν· « Ἂν τοιοῦτοι κίνδυνοι καταρραγῶσι καὶ προσβάλωσιν, ὡς πρὸς αὐτὸν ἐνεγκεῖν ὑμᾶς τὸν ᾅδην, ἀπερίτρεπτος ἡ Ἐκκλησία μένει. » Ἠδύνατο μὲν γὰρ μηδὲ ἀφεῖναι πεῖραν λαβεῖν αὐτὴν τῶν δεινῶν· τίνος οὖν ἕνεκεν ἀφῆκεν; Ὅτι πολλῷ μεῖζόν ἐστι τοῦ κωλῦσαι τοὺς πειρασμοὺς ἐπελθεῖν, μηδὲν ἀφεῖναι δεινὸν ἐκ τῆς ἐπαγωγῆς τούτων παθεῖν. Διὰ τοῦτο πάντας ἀφῆκεν ἐπελθεῖν τοὺς πειρασμούς, ἵνα καὶ δοκιμωτέραν αὐτὴν ἐργάσηται· *ἡ* γὰρ *θλίψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν*[58]· καὶ ἵνα τὴν δύναμιν τὴν ἑαυτοῦ μετὰ πλείονος ἐπιδείξηται τῆς περιουσίας, ἐξ αὐτῶν τῶν πυλῶν τοῦ θανάτου πόλλακις ἐξαρπάζων αὐτήν. Διὰ τοῦτο καὶ τὸ κλυδώνιον εἴασε γενέσθαι καὶ βαπτισθῆναι τὸ σκάφος οὐκ εἴασεν. Οὕτω καὶ κυβερνήτην θαυμάζομεν, οὐχ ὅταν ἐξ οὐρίας πλέων οὐδ' ὅταν κατὰ πρύμναν ἱσταμένου τοῦ

[57] Mt 16, 18
[58] Rm 5, 3–4

**[Ms. *Va I* $A_1$ $A_2$ $A_3$ *Y (partim) T G H (plane usque ad l. 140, deinde partim) K U*]** 15 τοῦτο *Va I Y U* ] ἐστι *add.* $A_1$ $A_2$ $A_3$ *T E G S* $H^{pc}$ $K^{pc}$ *Patr.* || 15 τεῖχος *Va I* $A_2$ $A_3$ *Y U* ] τὸ *praem.* $A_1$ *T G H* $K^{pc}$ *Patr.* || 15 περίβολος *Va I* $A_2$ $A_3$ *Y U* ] ὁ *praem.* $A_1$ *T G H K Patr.* || 15 ἀσφάλεια *Va I* $A_2$ $A_3$ *Y U* ] ἡ *praem.* $A_1$ *T G H K Patr.* || 16 μοι ] *textus corruptus K* || 16 Οὐ γὰρ ] οὐκ *Y* || 17 ὅτι *Va I* $A_2$ $A_3$ *Y T G H* ] *om.* $A_1$ *K U* || 17 οὐδὲ *Va I Y K U* ] οὐδ' $A_1$ $A_2$ $A_3$ *T G H Patr.* || 18 ᾅδου[1] $A_1$ $A_2$ $A_3$ *Y T G H K U* ] οὐ κατισχύσουσιν αὐτῆς *add. Va I* || 19 ὅτι *Va I Y K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *T G H Patr.* || 19 οὐ *Va I Y K U Patr.* ] *om.* $A_1$ $A_2$ $A_3$ *T G H* || 19 προσβαλοῦσιν ] προσ (*aut* πρου) *praem. G* || 21 γὰρ ] *om. I* || 21 ἀσαφὲς $A_1$ $A_2$ $A_3$ *T G H K* ] σαφὲς *Va I Y U*, ἀ *extra textum scr. Y* || 21 εἰρημένον $A_1$ $A_2$ $A_3$ *T G H K Patr.* ] ῥῆμα *Va I Y U* || 21 μάθωμεν $A_1$ $A_2$ $A_3$ *Y T G H Patr.* ] *om. Va I*, ἴδωμεν τοίνυν *K U* || 22 πύλη *Va I* $A_1$ *T G H K U* ] πύλαι $A_2$ $A_3$, *om. Y* || 22 οὕτως *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G* ] τότε *H K U Patr.* || 23 εἴσοδος $A_1$ $A_2$ $A_3$ *T G H K U* ] ἡ *praem. Va I Y* || 23 εἰσάγουσα *Va I* $A_2$ $A_3$ *Y K U* ] *om.* $A_1$ *T G H Patr.* || 23 εἰς ] ὁ *praem.* $A_2$ || 24 τοίνυν ] δὲ *G* || 24 ἐστιν ] τί ἐστιν πύλη ᾅδου *add. Y* || 25 προσβάλωσιν *I* $A_1$ $A_2$ $A_3$ *Y T H K* ] προσβάλλωσιν *Va G U*, προβάλλωσιν *P E* || 25 ὑμᾶς $A_2$ $A_3$ *Y K U* ] *ante* ἐνεγκεῖν *transp. Va I*, ἡμᾶς $A_1$ *T G H Patr.* || 26 μηδὲ *Va I* $A_2$ $A_3$ *Y K U* ] μὴ $A_1$ *T G H Patr.* || 26 λαβεῖν αὐτὴν *Va I Y K U* ] αὐτὴν λαβεῖν $A_1$ $A_2$ $A_3$ *T G H Patr.* || 27 ἀφῆκεν ] *om. G* || 27 τοῦ $A_1$ $A_2$ $A_3$ *Y T G H K U* ] τοῦτο *Va I* || 28 ἐπελθεῖν *Va I Y K U* ] ἐλθεῖν $A_1$ *T G H*, τὸ (τὸν *T*, τοῦ *H*) συγχωρήσαντα τοὺς πειρασμοὺς *praem.* $A_1$ $A_2$ $A_3$ *T G H Patr.* || 28 μηδὲν $A_1$ $A_2$ $A_3$ *T G H Patr.* ] ἢ *praem. Va I*, τὸ *praem. Y K U* || 29 πάντας ἀφῆκεν *Va I Y K U* ] ἀφῆκε πάντας $A_1$ $A_2$ $A_3$ *T G H Patr.* || 29 καὶ *Va I Y K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *T G H Patr.* || 30 ἡ[1] ] εἰ *Y* || 30 ἵνα *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G H* ] καὶ *add. K U* || 31 ἑαυτοῦ *Va I* $A_1$ *T G H K U* ] αὐτοῦ *aut* αὑτοῦ $A_2$ $A_3$ *Y* || 31 τῆς *Va I Y K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *T G H Patr.* || 32 πόλλακις *Va I* $A_2$ $A_3$ *Y K U* ] *om.* $A_1$ *T G H Patr.* || 32 ἐξαρπάζων *Va I* $A_2$ $A_3$ *Y U* ] ἐξαρπάζει $A_1$ *T G H K Patr.* || 34 πρύμναν $A_1$ $A_2$ $A_3$ *T G H* ] πρύμνας *Va I Y K U*, προίμναν *H*

πνεύματος διασώσῃ τὸ σκάφος, ἀλλ’ ὅταν τῆς θαλάσσης στασιαζούσης καὶ τῶν κυμάτων ἀγριουμένων καὶ τοῦ χειμῶνος | col. 78 καταρρηγνυμένου τὴν τέχνην πρὸς τὴν τῶν ἀνέμων ἀντιστήσας φοράν ἐκ μέσου τοῦ χειμῶνος ἐξαρπάσῃ τὸ πλοῖον. Οὕτω καὶ ὁ Χριστὸς ἐποίησε. Καθάπερ πλοῖον ἐν θαλάττῃ τὴν Ἐκκλησίαν ἐν τῇ οἰκουμένῃ φέρεσθαι καὶ πλεῖν ἀφεὶς, οὐ κατέλυσε τὴν ζάλην, ἀλλ’ ἐξήρπασε τῆς ζάλης· οὐ κατέστειλε τὴν θάλατταν, ἀλλ’ ἠσφαλίσατο τὴν ναῦν· καὶ διανισταμένων πανταχόθεν τῶν δήμων καθάπερ κυμάτων ἀγρίων, καὶ προσβαλλόντων αὐτῇ τῶν ἀνθρώπων τῶν πονηρῶν καθάπερ χαλεπῶν ἀνέμων, καὶ πάντοθεν ἐγειρομένου τοῦ χειμῶνος, πολλὴν τῇ Ἐκκλησίᾳ τὴν γαλήνην ἐποίει[59]· καὶ τὸ δὴ θαυμαστὸν ὅτι οὐ μόνον ὁ χειμὼν οὐ κατέδυσε τὴν ναῦν, ἀλλ’ ὅτι καὶ τὸν χειμῶνα ἡ ναῦς κατέλυσεν.

Οἱ γὰρ διωγμοὶ οἱ συνεχεῖς οὐ μόνον οὐ κατεπόντισαν τὴν Ἐκκλησίαν, ἀλλὰ καὶ διελύθησαν ὑπὸ τῆς Ἐκκλησίας. Πῶς καὶ τίνι τρόπῳ καὶ πόθεν; Ἐκ τῆς ἀποφάσεως ταύτης τῆς λεγούσης· « καὶ *πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς*[60] ». Πόσα ἔκαμον Ἕλληνες ὥστε τὸ ῥῆμα τοῦτο καθελεῖν, ὥστε ἄκυρον ποιῆσαι τὴν ἀπόφασιν, καὶ οὐκ ἴσχυσαν καταλῦσαι; Θεοῦ γὰρ ἡ ἀπόφασις ἦν. Καὶ καθάπερ πύργον ἐξ ἀδαμαντίνων λίθων συγκείμενον, σιδήρῳ συνδεδεμένον ἀκριβῶς, οἱ πολέμιοι πανταχόθεν βάλλοντες οὔτε τὴν οἰκοδομὴν χαυνοῦσιν οὔτε τὴν ἁρμονίαν παραλύουσιν, ἀλλ’ ἀπέρχονται τὸν μὲν πύργον μηδὲν καταβλάψαντες μηδὲ ποιήσαντές τι κακόν, τὴν δὲ ἑαυτῶν καταλύσαντες δύναμιν· οὕτω δὴ καὶ τὸ ῥῆμα τοῦτο καθάπερ πύργον ὑψηλὸν ἐν μέσῃ τῇ οἰκουμένῃ μετὰ ἀσφαλείας πάσης τετειχισμένον οἱ Ἕλληνες πανταχόθεν βάλλοντες αὐτὸν μὲν ἰσχυρότερον ἀπέφηναν, τὴν δὲ ἑαυτῶν καταλύσαντες ἰσχὺν οὕτως ἀπέθανον. Τί γὰρ οὐκ

[59] cf. Mt 8, 26 ; Mc 4, 39 ; Lc 8, 24

[60] Mt 16, 18

**[Ms. *Va I $A_1$ $A_2$ $A_3$ Y (partim) T G H (plane usque ad l. 140, deinde partim) K U*]** 35 διασώσῃ τὸ σκάφος ] *om. I* || 35 θαλάσσης *Va I $A_2$ Y H K U* ] θαλάττης *$A_1$ $A_3$ T G* || 35 καὶ ] *om. U* || 37 ἀντιστήσας ] *om. G* || 38 ἐν ] ἐν ἐκκλησίαν *praem. et exp. Va* || 39 καὶ *Va I Y K U* ] *om. $A_1$ $A_2$ $A_3$ T G H Patr.* || 39 πλεῖν *Va I $A_2$ $A_3$ Y K U* ] πάλιν *$A_1$ T G H Patr.* || 39 ἀφεὶς ] ἀφῇς *H* || 39 οὐ κατέλυσε ] οὐκ ἔλυσεν *Y* || 40 θάλατταν *Va I $A_3$ Y H K U* ] θάλασσαν *$A_1$ $A_2$ T G* || 41 πανταχόθεν τῶν *Va I Y K U* ] τῶν πανταχοῦ *$A_1$ $A_2$ $A_3$ T G H Patr.* || 41 προσβαλλόντων *Va $A_2$ $A_3$ Y T G K U* ] προσβαλόντων *I $A_1$ H Patr.* || 42 αὐτῇ *Va I $A_2$ $A_3$ Y T G K U* ] αὐτὴν *$A_1$ H* || 42 ἀνθρώπων *Va I Y K U* ] πνευμάτων *$A_1$ $A_2$ $A_3$ T G H Patr.* || 43 τὴν *Va I $A_1$ $A_2$ $A_3$ Y H K U* ] *om. T G* || 43 ἐποίει ] ἐποίῃ *G* || 44 κατέδυσε *Y $K^{pc}$ U* ] κατέλυσεν *Va I $A_1$ $A_2$ $A_3$ $K^{ac}$*, κατέλυσε *T*, κατέκλυσε *G H Patr.* || 45 κατέλυσεν *$A_1$ $A_2$ $A_3$ T H K Patr.* ] κατέκλυσεν *G*, κατέδυσε *post* καὶ *transp. Va I Y*, κατέλυσε *post* καὶ *transp. U* || 47 πῶς *$A_1$ $A_2$ $A_3$ Y T G H K U* ] οὖν *add. Va I*, ς *s. l. scr. I* || 47 τίνι τρόπῳ *Va I $A_2$ $A_3$ Y K U* ] τίνα τρόπον *$A_1$ T G H Patr.* || 47 ἐκ *Va I Y K U* ] ἀπὸ *$A_1$ $A_2$ $A_3$ T G H Patr.* || 48 ταύτης ] δῆλον *add. K U* || 48 καὶ *Va I Y K U* ] *om. $A_1$ $A_2$ $A_3$ T G H Patr.* || 49 τοῦτο *Va I $A_2$ $A_3$ Y H K U* ] *om. $A_1$ T G* || 50 καταλῦσαι *Va I $A_1$ $A_2$ $A_3$ Y T G H* ] *om. K U* || 50 ἡ *Va I $A_1$ T G H K U* ] *om. $A_2$ Y, s. l. add. $A_3$* || 52 βάλλοντες ] βάλοντες *$A_2$* || 52–53 οὔτε$^2$ – παραλύουσιν ] *om. U* || 53 ἀπέρχονται ] ἐπέρχονται *$A_3$* || 54 κακόν *Va I $A_1$ $A_2$ $A_3$ Y T G H* ] δεινόν *K U* || 54 ἑαυτῶν *$A_1$ $A_2$ $A_3$ Y T H K U* ] αὐτῶν *aut* αὑτῶν *Va I G* || 56 πάσης *Va I K U* ] *om. $A_1$ $A_2$ $A_3$ Y T G H Patr.* || 56 οἱ *$A_1$ $A_2$ $A_3$ Y T G H K* ] *om. Va I U* || 56 μὲν *Va I $A_2$ $A_3$ K U* ] τε *$A_1$ Y T G H Patr.* || 56 ἰσχυρότερον *Va I $A_2$ $A_3$ K U* ] ἰσχυρὸν *$A_1$ Y T G H Patr.*

ἐμηχανήσαντο κατὰ τῆς ἀποφάσεως ταύτης; Στρατόπεδα παρεσκευάζετο, ὅπλα ἐκινεῖτο, βασιλεῖς καθωπλίζοντο, δῆμοι διηγείροντο, πόλεις διανίσταντο, δικασταὶ παρωξύνοντο, ἅπαν τιμωρίας εἶδος ἐπενοεῖτο, οὐδεὶς παρελιμπάνετο κολάσεως τρόπος· πῦρ καὶ σίδηρος καὶ θηρίων ὀδόντες καὶ κρημνοὶ καὶ καταποντισμοὶ καὶ βάραθρον καὶ ξύλον καὶ τροχὸς καὶ σταυρὸς καὶ κάμινος καὶ πάντα ὅσα πώποτε ὤφθη βασανιστήρια πάντα εἰς μέσον ἐφέρετο, ἀπειλῶν ὄγκος ἀφόρητος, τιμῶν ὑποσχέσεις ἄφατοι, ὥστε ἐκείνῳ μὲν φοβῆσαι τῷ τρόπῳ, τούτῳ δὲ ἐκλῦσαι καὶ δελεάσαι. Οὐδὲν γοῦν οὐκ ἀπάτης, οὐ βίας παρελιμπάνετο εἶδος. Καὶ γὰρ πατέρες παῖδας παρέδωκαν[61] καὶ παῖδες πατέρας ἠγνόησαν[62], μητέρες ὠδίνων ἐπελάθοντο καὶ οἱ τῆς φύσεως ἀνετράπησαν νόμοι. Ἀλλ᾽ ὅμως οἱ θεμέλιοι τῆς Ἐκκλησίας οὐδὲ οὕτως ἐσαλεύθησαν[63]· ἀλλὰ διὰ τῆς συγγενείας αὐτῆς ὁ πόλεμος ἤρετο καὶ τῶν τει|χῶν ταύτης οὐχ ἥψατο διὰ τὸ ῥῆμα ἐκεῖνο τὸ λέγον ὅτι col. 79
*πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.*

Μὴ γὰρ ἴδῃς ὅτι ῥῆμα ἦν, ἀλλ᾽ ὅτι ῥῆμα Θεοῦ. Καὶ γὰρ τὸν οὐρανὸν ῥήματι ἐστερέωσεν ὁ Θεὸς[64] καὶ τὴν γῆν ῥήματι θεμελίωσεν ἐπὶ τῶν ὑδάτων, τὴν πυκνὴν ταύτην καὶ βαρεῖαν φύσιν ἐπὶ τῆς χαυνοτάτης καὶ διαρρεούσης ἐκείνης φύσεως ποιήσας φέρεσθαι[65]· καὶ τὴν θάλασσαν τὴν ἀφόρητον ταῖς βίαις ἐκείνην τὴν τοσαῦτα ἔχουσαν κύματα, ἀσθενεῖ τῇ ψάμμῳ πάντοθεν ἐτείχισε διὰ τοῦ ῥήματος. Ὁ τοίνυν διὰ τοῦ ῥήματος τὸν οὐρανὸν στερεώσας καὶ τὴν γῆν θεμελιώσας, τὴν θάλατταν περιφράξας, τί θαυμάζεις εἰ τὴν οὐρανοῦ καὶ γῆς καὶ θαλάττης

---

[61] cf. Mt 10, 21 ; Mc 13, 12
[62] cf. Mi 7, 6 ; Mt 10, 35
[63] cf. Mt 7, 25
[64] cf. Ps 33 (32), 6
[65] cf. Gn 1, 9

---

**[Ms. *Va I $A_1$ $A_2$ $A_3$ Y (partim) T G H (plane usque ad l. 140, deinde partim) K U*]** 59 πόλεις ] πόλις *$G^{ac}$* || 61 καὶ² ] *om. Y* || 62 καὶ τροχὸς *Va I K U* ] *om. $A_1$ $A_2$ $A_3$ Y T G H Patr.* || 63 πώποτε ὤφθη *Va I $A_1$ $A_2$ $A_3$ Y T G* ] ὤφθη πώποτε *H K U Patr.* || 63 πάντα *Va I K U* ] *om. $A_1$ $A_2$ $A_3$ Y T G H Patr.* || 63 ἐφέρετο *Va I K U* ] ἐφέροντο *$A_1$ $A_2$ $A_3$ Y T G H Patr.* || 63 ἀφόρητος *Va I K U* ] ἄφατος *$A_1$ $A_2$ $A_3$ Y T G H Patr.* || 64 ἐκείνῳ ] ἐκεῖνο *$A_1$* || 64 τρόπῳ ] προσώπῳ *$A_1$* || 64 τούτῳ *Va $A_2$ $A_3$ T G H K U* ] τοῦτο *I $A_1$ $Y^{ac}$* || 65 οὐδὲν ] οὐδὲ *G* || 65 γοῦν *$A_1$ $A_2$ $A_3$ Y T G H K* ] *om. Va I U* || 65 οὐκ *Va I K U* ] *om. $A_1$ $A_2$ $A_3$ Y T G H Patr.* || 66 παρέδωκαν *$A_1$ $A_2$ $A_3$ Y T G H K U* ] προέδωκαν *Va I* || 66 καὶ ] παῖδας πατέρες *add. et exp. K* || 66 παῖδες πατέρας ] παῖδας πατέρες *I* || 69 ταύτης *Va I $A_2$ $A_3$ K U* ] αὐτῆς *$A_1$ Y T G H Patr.* || 69 λέγον ] λέγων *$A_2$* || 69 ὅτι ] καὶ *$A_2$* || 71 ἴδῃς *Va I $Y^{pc}$ T G H U Patr.* ] εἴδῃς *$A_1$*, εἴπῃς *$A_2$ $A_3$ K* || 72 ἐπὶ τῶν ὑδάτων *Va I T H K U* ] ἐπὶ ὑδάτων *$A_1$ G*, *om. $A_2$ $A_3$ Y* || 73 χαυνοτάτης *$A_1$ $A_2$ $A_3$ Y T G H K Patr.* ] μανωτάτης *Va I U* || 73 ἐκείνης *Va I K U* ] *post* χαυνοτάτης *transp. $A_1$ $A_2$ $A_3$ Y T G H Patr.* || 73 φύσεως ] *om. $A_1$ $A_2$ $A_3$ Y T G S H Patr.* || 74 θάλασσαν *$A_1$ $A_2$ Y T G H K* ] θάλατταν *Va I $A_3$ U* || 74 ἀφόρητον ] ἀπόρρητον *H Sav. Front.* || 75 ἀσθενεῖ *Va I K U* ] τειχίῳ *add. $A_1$ $A_2$ $A_3$ Y T G H Patr.* || 75 πάντοθεν *Va I $A_2$ $A_3$ K U* ] πανταχόθεν *$A_1$ Y T G H Patr.* || 75 τοῦ *Va I K U* ] *om. $A_1$ $A_2$ $A_3$ Y T G H Patr.* || 76 τοῦ *Va I K U* ] *om. $A_1$ $A_2$ $A_3$ Y T G H Patr.* || 76 τὸν οὐρανὸν ] *post* τοίνυν *transp. G* || 76 καὶ *Va I K U* ] *om. $A_1$ $A_2$ $A_3$ Y T G H Patr.* || 77 θάλατταν *Va I $A_2$ $A_3$ K U* ] θάλασσαν *$A_1$ Y T G H* || 77 θαλάττης *Va I $A_2$ $A_3$ U* ] θαλάσσης *$A_1$ Y T G H K*

τιμιωτέραν Ἐκκλησίαν διὰ τούτου τοῦ ῥήματος ἐτείχισεν;

**β'.** Ἀλλ' ἐπειδὴ οὕτως ἡ οἰκοδομὴ ἄσειστος, οὕτω τὸ τεῖχος ἀρραγές, ἴδωμεν πῶς τοὺς θεμελίους κατεβάλλοντο οἱ ἀπόστολοι, πόσον βάθος ἔσκαψαν ὥστε ἄσειστον γενέσθαι τὴν οἰκοδομήν. Οὐκ ἔσκαψαν βάθος, οὐκ ἐδεήθησαν πόνου τοσούτου. Διὰ τί; Παλαιὸν εὗρον θεμέλιον καὶ ἀρχαῖον τὸν τῶν προφητῶν[66]. Καθάπερ οὖν ἄνθρωπος μέλλων οἰκίαν μεγίστην οἰκοδομεῖν[67], ἐπειδὰν εὕρῃ θεμέλιον παλαιόν, ἰσχυρὸν καὶ ἀρραγῆ, οὐκ ἀναμοχλεύει τὸν θεμέλιον, οὐ κινεῖ τοὺς λίθους, ἀλλ' ἀφεὶς ἑστάναι ἀκίνητον, οὕτως ἐπιτίθησι τὴν νεαρὰν καὶ πρόσφατον οἰκοδομήν[68]· οὕτω καὶ οἱ ἀπόστολοι μέλλοντες τὸ μέγα τοῦτο οἰκοδόμημα οἰκοδομεῖν τὴν πανταχοῦ τῆς οἰκουμένης Ἐκκλησίαν ἱδρυμένην οὐ διέσκαψαν βάθος, ἀλλ' εὑρόντες παλαιὸν θεμέλιον τὸν τῶν προφητῶν οὐκ ἀνεμόχλευσαν ἐκεῖνον, οὐδὲ ἐκίνησαν τὴν οἰκοδομὴν καὶ τὴν διδασκαλίαν, ἀλλ' ἀφέντες αὐτὴν ἀκίνητον μένειν οὕτως ἐπέθηκαν τὴν παρ' ἑαυτῶν διδασκαλίαν τὴν νέαν ταύτην τῆς Ἐκκλησίας πίστιν. Καὶ ἵνα μάθῃς ὅτι οὐκ ἐκίνησαν τὸν παλαιὸν θεμέλιον, ἀλλ' ἐπάνω αὐτοῦ ᾠκοδόμησαν, ἄκουσον αὐτοῦ τοῦ σοφοῦ ἀρχιτέκτονος Παύλου λέγοντος ἡμῖν τῆς οἰκοδομῆς τὴν ἀκρίβειαν· αὐτὸς γάρ ἐστιν ὁ σοφὸς ἀρχιτέκτων. « *Ὡς σοφὸς* γάρ, φησιν, *ἀρχιτέκτων θεμέλιον τέθεικα*[69]. » Ἀλλ' ἴδωμεν πῶς τέθεικεν αὐτὸν τὸν θεμέλιον. « Ἐπάνω, φησίν, ἑτέρου θεμελίου παλαιοῦ, τοῦ τῶν προφητῶν. » Πόθεν τοῦτο δῆλον; Αὐτός φησιν· « *Οὐκ ἔτι ἐστὲ ξένοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων, ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ*

[66]cf. Ep 2, 20
[67]cf. Mt 7, 24
[68]cf. Mt 7, 25 ; Lc 6, 48
[69]1 Co 3, 10

**[Ms. *Va I* $A_1$ $A_2$ $A_3$ *Y (partim) T G H (plane usque ad l. 140, deinde partim) K U*]** 78 τούτου τοῦ ῥήματος *Va I K U* ] τοῦ ῥήματος τούτου $A_1$ $A_2$ $A_3$ *Y T G H Patr.* || 78 ἐτείχισεν *Va I K U* ] πάλιν *praem.* $A_1$ $A_2$ $A_3$ *P Y T G H Patr.* || 79 **β'.** ἴδωμεν *Va I* $A_2$ $A_3$ *Y T G K* ] ἴδομεν $A_1$ *H*, εἴδωμεν *U* || 80 τοὺς θεμελίους *Va I K U* ] *post* ἀπόστολοι *transp.* $A_1$ $A_2$ $A_3$ *Y T G H Patr.*, *post* κατεβάλλοντο *transp. K U*, τὸ *praem. U* || 80 κατεβάλλοντο *Va* $A_3$ *G H K U* ] κατεβάλοντο *I* $A_1$ $A_2^{pc}$ *Y T* || 80 ἔσκαψαν ] κατέσκαψαν *I* || 81 οὐκ ] οὐδὲ *K U* || 82 εὗρον ] ηὗρον $A_2$ || 83 μέλλων ] μέλλον $A_1$ *H* || 83 οἰκίαν μεγίστην οἰκοδομεῖν $A_1$ $A_2$ $A_3$ *Y T H K U* ] μεγίστην οἰκίαν οἰκοδομεῖν *Va I*, οἰκίαν οἰκοδομὴν μεγίστην *G* || 84 παλαιόν *Va I* $A_2$ $A_3$ *K U* ] καὶ *add.* $A_1$ *Y T G H Patr.* || 84 ἀρραγῆ *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G H* ] ἀρραγές *K U* || 84 ἀναμοχλεύει *Va I* $A_2$ $A_3$ *Y T H* $K^{pc}$ ] ἀναμοχλεύῃ $A_1$ *U* || 85 ἀλλ' *Va I* $A_1$ *T H K U* ] ἀλλὰ $A_2$ $A_3$ *Y G* || 85 ἀφεὶς *Va I* $A_2$ $A_3$ *Y T G K U* ] ἀφῆς $A_1$ *H* || 85 νεαρὰν *Va I K U* ] νέαν $A_1$ $A_2$ $A_3$ *Y T H Patr.* || 86 οὕτω *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G H* ] δὴ *add. K U* || 88 παλαιὸν $A_1$ $A_2$ $A_3$ *Y T G H K Patr.* ] τὸν *praem. Va I U* || 89 οὐδὲ *Va I K U* ] οὐκ $A_1$ $A_2$ $A_3$ *Y T G H Patr.* || 89 ἀλλ' ] ἀλλὰ *G* || 90 ἀκίνητον μένειν *Va I K U* ] μένειν ἀκίνητον $A_1$ $A_2$ $A_3$ *Y T G H Patr.* || 90 ἑαυτῶν $A_1$ $A_2$ $A_3$ *Y T G H K U* ] αὐτῶν *aut* αὑτῶν *Va I* || 90 νέαν $A_1$ $A_2$ $A_3$ *Y T H K Patr.* ] νεαρὰν *Va I U* || 92 ᾠκοδόμησαν – αὐτοῦ ] *om. I* || 92–93 παύλου ] *om. U* || 94 ὡς ] ὁ *Y* || 94 ἴδωμεν ] εἴδωμεν *Va* $A_2$ $A_3^{ac}$ *U* || 95 τέθεικεν αὐτὸν ] αὐτὸν τέθεικε *H Patr.* || 95 παλαιοῦ *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G H* ] *om. K U* || 96 τοῦτο *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G H* ] *om. K U* || 96 αὐτός *Va I K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *Y T G H Patr.* || 96 φησιν *Va I K U* ] *ante* ξένοι *transp.* $A_1$, *post* ξένοι *transp.* $A_2$ $A_3$ *Y T G H Patr.*

*προφητῶν*[70]. » Εἶδες *θεμέλιον* καὶ *θεμέλιον*, τὸν μὲν *τῶν προφητῶν* κατώτερον, τὸν δὲ *τῶν ἀποστόλων* ἀνώτερον κείμενον.

Καὶ τὸ δὴ θαυμαστὸν οὐκ εὐθέως μετὰ τοὺς προφήτας ἦλθον οἱ ἀπόστολοι, ἀλλὰ πολὺς μεταξὺ διεγένετο χρόνος. Τί δήποτε; Ὅτι καὶ οἱ ἄριστοι τῶν οἰκοδόμων οὕτως ποιοῦσιν· ἐπειδὰν καταβάλλωνται θεμέλιον, οὐκ εὐθέως ἐπιτιθέασι τὴν οἰκοδομήν, ἵνα μὴ ἁπαλωτέρα καὶ πρόσφατος οὖσα τοῦ θεμελίου ἡ ἐργασία ἀδυνατήσῃ τῶν τοίχων ἐνεγκεῖν τὸ βάρος. Διὰ τοῦτο ἀφέντες χρόνῳ πολλῷ παγῆναι τοὺς λίθους, ἐπειδὰν ἴδωσιν ἀκριβῶς σφιγγέντας, τότε ἐπιτιθέασι καὶ τῶν τοίχων τὸ βάρος. Οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν· ἀφεὶς παγῆναι *τὸν θεμέλιον τῶν προφητῶν* ἐν ταῖς τῶν ἀκουόντων ψυχαῖς καὶ γενέσθαι βεβαίαν τὴν διδασκαλίαν, ὅτε εἶδεν εὐτονοῦσαν τὴν οἰκοδομήν, ὅτε παγέντα τὰ δόγματα τὰ ἱερὰ ὥστε | δυνηθῆναι τὸ βάρος τῆς κατὰ τὴν καινὴν φιλοσοφίας ἐνεγκεῖν, τότε col. 80 ἀπέστειλε τοὺς ἀποστόλους *ἐπὶ τῷ θεμελίῳ τῶν προφητῶν* τοὺς τοίχους τῆς Ἐκκλησίας ἀναστήσοντας. Διὰ τοῦτο οὐκ εἶπεν « Οἰκοδομηθέντες *ἐπὶ τῷ θεμελίῳ τῶν προφητῶν* », ἀλλ' *ἐποικοδομηθέντες*[71], ἐπάνω οἰκοδομηθέντες.

Ἀλλ' ἴδωμεν πῶς ᾠκοδόμησαν. Πόθεν οὖν εἰσόμεθα; Πόθεν δὲ ἄλλοθεν, ἀλλ' ἢ ἀπὸ τῆς βίβλου τῶν Πράξεων, περὶ ἧς καὶ ἐν ταῖς ἔμπροσθεν ἡμέραις ὑμῖν διελέχθημεν; Τάχα γάρ τι καὶ μικρὸν χρέος ἐκεῖθεν ὑμῖν ὀφείλομεν, ὅπερ ἀνάγκη καταθεῖναι σήμερον. Τί οὖν ἐστι τὸ χρέος; Αὐτὴν τοῦ βιβλίου τὴν ἐπιγραφὴν

[70] Ep 2, 19–20
[71] Ep 2, 20

**[Ms. *Va I* $A_1$ $A_2$ $A_3$ *Y (partim) T G H (plane usque ad l. 140, deinde partim) K U*]** 98 εἶδες *Va I* $A_1$ *Y T G K U* ] ἴδες $A_2$ $A_3^{ac}$ *H* || 98 κατώτερον *Va I* $A_1$ $A_2$ $A_3$ *Y T H K U* ] *om. Sav. Front. Patr.* || 99 ἀνώτερον *Va I K U* ] ἀνωτέρω $A_1$ $A_2$ $A_3$ *Y T G H Patr.* || 100 εὐθέως ] εὐθὺς $A_2$ || 101 διεγένετο *Va I* $A_2$ $A_3$ *K U* ] παρεγένετο $A_1$ *Y H Patr.*, παρελήλυθε *T G* || 101 καὶ *Va I R* $A_2$ $A_3$ *K U* ] *om.* $A_1$ *Y T G H Patr.* || 102 οὕτως *Va I* $A_2$ *K U* ] οὕτω $A_1$ $A_3$ *Y T G*, τοῦτο *H Patr.* || 102 καταβάλλωνται *Va I* $A_1$ $A_2$ $A_3$ *Y U* ] καταβάλλονται *G H*, καταβάλωνται *T K* || 103 τοῦ ] *om. I* || 104 τοίχων *Va I* $A_1$ $A_2$ $A_3$ *T* $G^{pc}$ $H^{pc}$ *K U* ] τύχων *Y* $G^{ac}$ (οι *s. l.*), τειχῶν *Patr.* || 104 βάρος ] βράχος *Va* || 104–106 διὰ – βάρος ] *om. I* || 105 ἐπειδὰν ] δὲ *add. Va U* || 105 ἴδωσιν ] ἴδοσιν $A_1$, εἴδωσιν $A_2$ || 105 σφιγγέντας ] σφιγέντας $A_3$ $Y^{pc}$ *Patr.* || 105 ἐπιτιθέασι ] ἐπιτιθέασιν $A_1$ *H K U* || 106 τοίχων ] τύχων (*pro* τυχῶν) *Y* || 106 οὕτω ] οὕτως $A_1$ $A_2$ $A_3$ *Y T H* || 106 ἀφεὶς ] ἀφῇς $A_1$ *P H* || 106 τῶν ] τὸν *G* || 107 ἀκουόντων *Va I R K U* ] ἀκουσάντων $A_1$ $A_2$ $A_3$ *Y T G H Patr.* || 108 εἶδεν ] ἴδεν $A_1$ $A_2$ $A_3^{pc}$ $Y^{ac}$ *H* || 108 εὐτονοῦσαν *Va I K U* ] ἄσειστον οὖσαν (*sed* οὖσαν *post* οἰκοδομὴν *transp.* $A_1$) $A_1$ $A_2$ $A_3$ *Y T H Patr.*, ἄσειστον *G* || 109 τὸ βάρος τῆς *Va I* $A_2$ $A_3$ *K U* ] τὴν $A_1$ *Y T G H Patr.* || 109 φιλοσοφίας *K U* ] φιλοσοφίαν *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G H* || 110–112 τοὺς² – προφητῶν ] *om. I* || 112 τῶν προφητῶν *Va* $A_1$ $A_2$ $A_3$ *Y T G H* ] *om. K U* || 112 ἐποικοδομηθέντες *Va I K U* ] ἐπὶ τῷ θεμελίῳ τοῦτ' ἔστιν *add.* $A_1$ $A_2$ $A_3$ *Y T G H* || 112 ἐπάνω οἰκοδομηθέντες *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G H* ] *om. K U* || 113 ἴδωμεν *I* $A_2$ $A_3$ *Y T G H* $K^{pc}$ *Patr.* ] εἴδωμεν *Va* $K^{ac}$, ἴδομεν $A_1$, εἴδομεν *U* || 113 ᾠκοδόμησαν *Va I* $A_2$ $A_3$ *U* ] ᾠκοδομήθησαν $A_1$ *Y T G H K Patr.* || 113 εἰσόμεθα ] εἰσώμεθα *Va*, ἰσώμεθα $A_1$ *H* || 113 δὲ ] *om. G* || 114 ἢ ] *om.* $A_2$ $A_3$ || 114 ἡμέραις ὑμῖν *Va I K U* ] ὑμῖν ἡμέραις $A_1$ $A_2$ $A_3$ *Y T G H Patr.* || 115 καὶ ] *om. U* || 115 χρέος *Va I* $A_2$ $A_3$ *K U* ] *post* ὀφείλομεν *transp.* $A_1$ *Y T G H Patr.* || 115 ἐκεῖθεν ὑμῖν *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G H* ] ὑμῖν ἐκεῖθεν *K U* || 115 ὀφείλομεν *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G H* ] ὠφείλομεν *K U* || 116 αὐτὴν *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G H* ] τὴν ἀρχὴν *add. K*, *lac. U* || 116 τὴν ἐπιγραφὴν *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G H* ] τῆς ἐπιγραφῆς *K* $U^{ac}$ (*corr. al. man.*)

ἑρμηνεῦσαι σπουδάσωμεν. Οὐ γὰρ ψιλή τίς ἐστι καὶ σαφής, καθὼς πολλοὶ νομίζουσιν, ἀλλὰ δεῖται καὶ ἐξετάσεως. Τίς οὖν ἐστιν ἡ ἐπιγραφὴ τοῦ βιβλίου; « Πράξεις ἀποστόλων ». Οὐ δοκεῖ σαφὲς εἶναι; Οὐ δοκεῖ γνώριμον καὶ δῆλον ἅπασιν; Ἀλλ' ἐὰν παρακολουθῆτε τοῖς λεγομένοις, ὄψεσθε ὅσον τὸ βάθος τῆς ἐπιγραφῆς ταύτης.

Διὰ τί γὰρ οὐκ εἶπε « Θαύματα ἀποστόλων »; Διὰ τί οὐκ ἐπέγραψε « Σημεῖα ἀποστόλων », ἢ « Δυνάμεις καὶ τέρατα ἀποστόλων »· ἀλλὰ « Πράξεις ἀποστόλων »; Οὐ γὰρ τὸ αὐτό ἐστι « πράξεις » καὶ « σημεῖα », οὐ τὸ αὐτὸ ἐστι « πράξεις » καὶ « θαύματα »· οὐ τὸ αὐτό ἐστι « πράξεις » καὶ « τέρατα » καὶ « δυνάμεις »· ἀλλὰ πολλὴ ἡ διαφορὰ τούτων ἑκατέρων. Πρᾶξις μὲν γάρ ἐστιν οἰκείας σπουδῆς κατόρθωμα, θαῦμα δὲ θείας δωρεᾶς χάρισμα. Εἶδες ὅσον τὸ μέσον πράξεως καὶ θαύματος; Πρᾶξίς ἐστιν ἀνθρωπίνων ἱδρώτων συντέλεσμα, θαῦμά ἐστι θείας φιλοτιμίας ἐπίδειξις· πρᾶξίς ἐστιν ἐκ τῆς ἡμετέρας προαιρέσεως τὴν ἀρχὴν ἔχουσα, θαῦμά ἐστιν ἐκ τῆς τοῦ Θεοῦ χάριτος τὰ προοίμια λαμβάνον, καὶ τὸ μὲν τῆς ἄνωθεν ῥοπῆς, τὸ δὲ τῆς κάτωθεν γνώμης. Πρᾶξις ἐξ ἀμφοτέρων ὑφαίνεται καὶ ἐξ ἡμετέρας σπουδῆς καὶ ἐκ θείας χάριτος· τὸ δὲ θαῦμα γυμνὴν ἐπιδείκνυται τὴν ἄνωθεν χάριν οὐδὲν τῶν ἡμετέρων ἱδρώτων ἐπιδεόμενον.

Πρᾶξίς ἐστιν ἐπιεικῆ εἶναι, σώφρονα, ὀργῆς κρατεῖν, μέτριον εἶναι, ἐπιθυμίας καταγωνίζεσθαι, ἐλεημοσύνην ποιεῖν, φιλανθρωπίαν ἐπιδείκνυσθαι, ἅπασαν ἀσκεῖν ἀρετήν· τοῦτο πρᾶξίς ἐστι καὶ πόνος καὶ ἱδρὼς ἡμέτερος. Θαῦμά ἐστι δαίμονας ἀπελαύνειν, τυφλωθέντων ὀφθαλμοὺς ἀνοίγειν, λεπρῶν σώματα καθ-

**[Ms. *Va I* $A_1$ $A_2$ $A_3$ *Y (partim) T G H (plane usque ad l. 140, deinde partim) K U*]** 117 σπουδάσωμεν $A_1$ $A_2$ $A_3$ *Y H K* ] σπουδάζομεν *Va I* $U^{pc}$, σπουδάσομεν $U^{ac}$ $T^{pc}$ (*corr. al. man.*) *G* || 117 καθὼς ] καθὰ $A_2$ $A_3$ || 118 ἐστιν *Va I* $A_2$ $A_3$ *K U* ] *om.* $A_1$ *Y T G H Patr.* || 119 οὐ – εἶναι ] *exp. U al. man.* || 119 σαφὲς $A_1$ $A_2$ $A_3$ *Y T G H K U* ] σαφὴς *Va I* || 120 ἐὰν *Va I K U* ] ἂν $A_1$ $A_2$ $A_3$ *Y T G H Patr.* || 122 τί$^2$ *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G H* ] γὰρ *add. K* $U^{ac}$ (*corr. al. man. cum ras.*) || 123–124 ἢ – ἀποστόλων ] *om. I* || 123 ἢ *Va K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *Y T G H* || 123 ἀλλὰ *Va* $A_2$ $A_3$ *Y K U* ] ἀλλ' ἢ $A_1$ $T^{pc}$ *G*, ἀλλ' ἡ *H* || 123 πράξεις ] πρᾶξις *H* || 124–125 σημεῖα – καὶ$^1$ ] *om. Y* || 124–125 σημεῖα – καὶ$^2$ *Va I K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *T G H* || 124 ἐστι ] καὶ *add. I* || 125 ἐστι *Va I* $A_1$ $A_2$ $A_3$ *T G H* ] *om. K U* || 126 τούτων ] *om. G* || 126 πρᾶξις ] πράξεις $A_3^{ac}$ || 127 δὲ $A_1$ *Y T G H K U* ] ἐστι *add. Va I* $A_2$ $A_3$ || 127 εἶδες *Va I* $A_1$ *Y T G K U* ] ἴδες $A_2$ $A_3^{pc}$ *H* || 128 θαύματος *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G H* ] θαυμάτων *K U* || 129–130 προαιρέσεως ] σπουδῆς *I* || 130 ἔχουσα ] ἐνέχουσα $Y^{pc}$ || 130–131 λαμβάνον *Va I* $A_2$ $A_3^{pc}$ $Y^{pc}$ *T G K U* ] λαμβάνων $A_1$ *H* || 132 δὲ *Va I K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *Y T G H* || 133–134 ἐπιδεόμενον *Va I K U* ] δεόμενον $A_1$ $A_2$ $A_3$ *Y T G H Patr.* || 135 μέτριον *Va I K U* ] *post* σώφρονα *transp.* $A_1$ $A_2$ $A_3$ *Y T G H Patr.* || 135 εἶναι *Va I K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *Y T G H Patr.* || 136 ἐλεημοσύνην *Va I K U* ] ἐλεημοσύνας $A_1$ $A_2$ $A_3$ *Y T G H Patr.* || 136 ἐπιδείκνυσθαι *Va I* $A_1$ *Y T G H K U* ] ἐνδείκνυσθαι $A_2$ $A_3$ || 136 ἅπασαν ] πᾶσαν $A_2$ || 138 τυφλωθέντων *Va I K U* ] τυφλωθέντας $A_1$ $A_2$ $A_3$ *Y T G H Patr.* || 138 σώματα *Va I K U* ] τὰ *praem.* $A_1$ $A_2$ $A_3$ *Y T G H Patr.*

**[Trad. indirecta]** 135 μέτριον ] *post* σώφρονα *transp. p, et uerbo* πρᾶξίς *inc. excerptum primum* || 135 εἶναι ] *om. p* || 136 ἐλεημοσύνην ] ἐλεημοσύνας *p* || 137 ἱδρὼς ] ἱδρὸς *p* || 137 ἡμέτερος ] καὶ τὰ ἑξῆς *add. p, et hic des. excerptum primum*

αἱρεῖν, διαλελυμένα μέλη σφίγγειν, νεκροὺς ἐγείρειν[72], ἕτερα τοιαῦτα θαυματουργεῖν. Εἶδες πόσον τὸ μέσον πράξεων καὶ θαυμάτων, πολιτείας καὶ σημείων, τῆς ἡμετέρας σπουδῆς καὶ τῆς τοῦ Θεοῦ χάριτος;

**γʹ**. Βούλει καὶ ἑτέραν σοι δείξω διαφοράν; Διὰ γὰρ ὑμᾶς σήμερον ἅπαντα τὸν λόγον τοῦτον ἐκίνησα ὥστε μαθεῖν τὸ θαῦμα καὶ τὸ σημεῖον. Μεῖζον μέν ἐστι καὶ φρικωδέστερον καὶ τὴν ἡμετέραν ὑπερβαῖνον φύσιν· ἡ δὲ πρᾶξις καὶ ἡ πολιτεία ἐλάττων μὲν τῶν σημείων, χρησιμωτέρα δὲ καὶ κερδαλεωτέρα· πόνων γάρ ἐστιν ἀμοιβὴ καὶ σπουδῆς μισθός. Καὶ ἵνα μάθῃς ὅτι ἡ πρᾶξις τοῦ σημείου κερδαλεωτέρα καὶ χρησιμωτέρα, πρᾶξις μὲν ἀγαθὴ καὶ χωρὶς σημείων εἰσήγαγεν εἰς τὸν οὐρανὸν τοὺς κατωρθωκότας αὐτήν, θαύματα δὲ καὶ σημεῖα χωρὶς πολιτείας οὐκ ἴσχυσε πρὸς τὰ πρόθυρα χειραγωγῆσαι ἐκεῖνα. Καὶ πῶς ; Ἐγὼ δείξω· ὑμεῖς δὲ παρατηρεῖτε πῶς τὴν προεδρίαν αἱ | πράξεις ἔχουσι κατὰ τὴν τῶν col. 81
μισθῶν ἀμοιβήν, πῶς τὰ μὲν σημεῖα καθ' ἑαυτὰ ὄντα οὐ σώζει τοὺς ποιοῦντας, ἡ δὲ πρᾶξις καθ' ἑαυτὴν οὖσα, οὐδενὸς ἑτέρου δεῖται πρὸς σωτηρίαν τῶν κεκτημένων.

« *Πολλοὶ ἐροῦσί μοι*, φησὶν ὁ Χριστός, *ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· "Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν·* τοῦτο σημεῖον καὶ θαῦμα· οὐ *τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ δυνάμεις πολλὰς ἐποιήσαμεν*[73];" » Ὁρᾷς πανταχοῦ σημεῖα καὶ

[72] cf. Is 26, 19 ; Is 29, 18–19 ; Is 35, 5 ; Is 42, 7 ; 18 ; Mt 10, 1 ; 8 ; Mt 11, 5 ; Mt 15, 31 ; Mt 21, 14 ; Mc 9, 38 ; Lc 4, 18

[73] Mt 7, 22

**[Ms. *Va I $A_1$ $A_2$ $A_3$ Y (partim) T G H (plane usque ad l. 140, deinde partim) K U*]** 139–140 ἕτερα τοιαῦτα θαυματουργεῖν ] *om. $A_3$* || 139 ἕτερα *Va I $A_1$ $A_2$ Y T G H* ] καὶ *praem. K U* || 140 εἶδες *Va I Y T G K U* ] ἴδες *$A_1$ $A_2$ $A_3$ H* || 140 πόσον ] πόσων *$A_1$* || 140 τὸ μέσον πράξεων ] πράξεων τὸ μέσον *$A_1$* || 141 χάριτος ] χ<άριτος> *$A_2$* || 142 **γʹ**. βούλει ] βούλῃ $A_1$ || 142 διὰ *$A_1$ $A_2$ $A_3$ Y T G K* ] δεῖ Va I U || 143 τοῦτον ἐκίνησα ὥστε *$A_2$ $A_3$ Y T G K* ] ἐκίνησα τοῦτον ὥστε *$A_1$*, τοῦτον *Va I U* || 143 μαθεῖν ] τί *add. G* || 143 τὸ σημεῖον ] τίς ἡ πρᾶξις *G* || 143 μεῖζον $A_2$ $A_3$ Va I U ] τὸ θαῦμα *praem. $A_1$ Y T G K Patr.* || 144 ἡ ] *om. $K^{ac}$, add. in textu al. man.* || 145 ἐλάττων *I K U* ] ἔλαττον *Va $A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 145 χρησιμωτέρα *Va I K U* ] χρησιμώτερον *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 145 κερδαλεωτέρα *Va I K U* ] κερδαλεώτερον *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 146 σπουδῆς ] σπουδὴ καὶ $U^{ac}$ (*corr. et* καὶ *eras. al. man.*) || 146 ἡ *Va I $A_1$ Y T G K U* ] om. $A_2$ $A_3$ || 147 μὲν *Va I $A_1$ $A_2$ $A_3$ Y T G* ] γὰρ *add. K $U^{ac}$* (*eras. al. man.*) || 147–148 εἰσήγαγεν *Va I K U* ] εἰσήγαγεν (ἀνήγαγεν *$A_1$*) *post* κατωρθωκότας *transp. $A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 148 αὐτήν *Va I K U* ] om. *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 148 θαύματα *Va I T G K U* ] θαῦμα *$A_1$ $A_2$ $A_3$ Y* || 150 δείξω *Va I $A_1$ $A_2$ $A_3$ Y T G* ] λέγω *K U* || 155 δαιμόνια *Va I K U* ] πολλὰ *add. $A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 156 ἐξεβάλομεν *Va I $A_2$ $A_3$ T G K U* ] ἐξεβάλλομεν $A_1$ Y || 156 πολλὰς ] πολλὰ $A_3$

**[Trad. indirecta]** 146 καὶ ἵνα ] *eis uerbis inc. excerptum secundum apud p* || 147–148 εἰσήγαγεν ] *post* κατωρθωκότας *transp. p* || 148 αὐτήν ] *om. p* || 149 χειραγωγῆσαι ἐκεῖνα ] ἐκεῖνα χειραγωγῆσαι *p*, καὶ τὰ ἑξῆς *add. p, et hic des. excerptum secundum* || 151 πῶς ] ὅτι *add. p, et uerbo* πῶς *inc. excerptum tertium* || 151 ἡ ] εἰ *p* || 154 ἡμέρᾳ ] καὶ τὰ ἑξῆς *add. p, et hic des. excerptum tertium*

θαύματα, οὐδαμοῦ πρᾶξις οὐδὲ πολιτεία ; Ἴδωμεν οὖν τί φησιν ὁ Θεός, ἐπειδὴ γυμνὰ τὰ θαύματα καὶ οὐδαμοῦ πολιτεία καὶ πρᾶξις, « Πορεύεσθε, φησίν, *ἀπ' ἐμοῦ*, οὐκ οἶδα ὑμᾶς *οἱ ἐργαζόμενοι τὴν ἀνομίαν*[74]. » « Εἰ "οὐκ οἶδας αὐτούς", πῶς οἶδας ὅτι *ἐργάζονται τὴν ἀνομίαν*; » Ἵνα μάθῃς ὅτι τὸ « οὐκ οἶδα ὑμᾶς » οὐκ ἀγνοίας, ἀλλὰ μίσους ἐστὶ καὶ ἀποστροφῆς· « Οὐκ οἶδα ὑμᾶς. » « Τίνος ἕνεκεν, εἰπέ μοι; *Οὐ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν*[75]; » « Διὰ τοῦτο γὰρ ὑμᾶς μισῶ καὶ ἀποστρέφομαι, φησίν, ὅτι οὔτε ταῖς δωρεαῖς βελτίους ἐγένεσθε, ὅτι τοσαύτης ἀπολαύσαντες τιμῆς ἐμείνατε ἐπὶ τῆς αὐτῆς κακίας. Πορεύεσθε *ἀπ' ἐμοῦ*, οὐκ οἶδα ὑμᾶς. »

« Τί οὖν; Ἀνάξιοι τὸ παλαιὸν ἐλάμβανον χαρίσματα, καὶ διεφθαρμένοι τὸν βίον σημεῖα ἐπεδείκνυντο, καὶ θείας ἀπήλαυον δωρεᾶς[76] τῆς πολιτείας οὐκ ἐπιμελούμενοι τῆς ἀρίστης; » Ἀπήλαυον δωρεᾶς διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν[77], οὐ διὰ τὴν οἰκείαν ἀξίαν. Ἔδει γὰρ πανταχοῦ σπαρῆναι τῆς εὐσεβείας τὸν λόγον, καὶ γὰρ ἀρχὴ καὶ προοίμια τῆς πίστεως ἦν. Καθάπερ οὖν γηπόνος ἄριστος νεόφυτον δένδρον τοῖς κόλποις τῆς γῆς ἄρτι παρακατατιθέμενος ἁπαλὸν ὂν ἔτι πολλῆς ἐπιμελείας ἀξιοῖ πανταχόθεν περιφράττων τειχίζων λίθοις, ἀκάνθαις, ὥστε μὴ ὑπὸ ἀνέμων ἀνασπασθῆναι μήτε ὑπὸ θρεμμάτων ἀδικηθῆναι μήτε ὑπὸ ἄλλης τινὸς ἐπηρεασθῆναι βλάβης· ἐπειδὰν δὲ παγὲν καὶ πρὸς ὕψος ἀναδραμὸν ἴδῃ, περιαιρεῖ τὰ τειχία· ἀρκεῖ γὰρ ἑαυτὸ λοιπὸν τὸ δένδρον πρὸς τὸ μηδὲν τοιοῦτον παθεῖν· οὕτω καὶ ἐπὶ τῆς πίστεως γέγονεν. Ὅτε νεόφυτος ἦν, ὅτε ἁπαλὴ ἦν, ὅτε προσφάτως ἐν ταῖς τῶν ἀνθρώπων κατεβλήθη ψυχαῖς, πολλῆς ἐπιμελείας

[74] Mt 7, 23 (Ps 6, 9 *cit.*)
[75] Mt 7, 22
[76] cf. Mt 10, 8 ; Ac 8, 20
[77] cf. Tt 3, 4

**[Ms. *Va I $A_1$ $A_2$ $A_3$ Y (partim) T G H (plane usque ad l. 140, deinde partim) K U*]** 157 οὐδαμοῦ – πολιτεία *Va I $A_1$ Y T G K U* ] *om. $A_2$ $A_3$ Patr.* || 157 οὐδαμοῦ *Va I K U* ] καὶ *praem. $A_1$ Y T G* || 157 ἴδωμεν ] ἴδομεν *$A_1$*, εἴδωμεν *Va U* || 157 οὖν *Va I $A_1$ $A_2$ $A_3$ Y T G K U* ] *om. H Patr.* || 157 τί φησιν ὁ Θεός *$A_1$ $A_2$ $A_3$ Y T G U* ] φησίν τι ὁ χριστός *Va*, τι ὁ χριστός φησίν *I*, τί φησιν ὁ χριστός *K* || 158 καὶ πρᾶξις *Va I K U* ] *$A_1$ $A_2$ $A_3$ Y T G* || 158 φησίν ] om. $A_2$ $A_3$ Va I U || 159–160 εἰ – ἀνομίαν ] *om. G* || 160 ὅτι *Va I K U* ] αὐτούς εἰ *$A_1$ $A_2$ $A_3$ Y T Patr.* || 161 ἐστὶ *Va I K U* ] ἐστίν *post* ἀγνοίας *transp. $A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 162 διὰ τοῦτο ] δι' αὐτὸ *I* || 163 οὔτε *Va I K U* ] οὐδὲ *$A_1$ $A_2$ $A_3$ Y T G* || 166 ἀνάξιοι τὸ παλαιὸν *Va I $A_1$ $A_2$ $A_3$ T G K U* ] τὸ παλαιὸν ἀνάξιοι *Patr.* || 167 ἀπήλαυον *Va I $A_1$ $A_2$ $A_3$ Y T U* ] ἀπέλαυον *G K* || 167–168 τῆς – δωρεᾶς *Va K* (τῆς – ἀπήλαυον *habent $A_1$ $A_2$ $A_3$ Y T G Patr.*) ] *om. I U* || 168 τῆς ἀρίστης ] κατ' ἀρετὴν *Y* || 168 ἀπήλαυον *Va $A_1$ $A_2$ $A_3$ Y T* ] ἀπέλαυον *K*, ἀπέλαβον *G* || 168 δωρεᾶς *Va K* ] om. *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 170 καὶ γὰρ *Va I K U* ] ἐπειδὴ *$A_1$ $A_2$ $A_3$ Y T G* || 170 ἦν *$A_1$ $A_2$ $A_3$ Y T G K U* ] *ante* τῆς *transp. Va I* || 171 *Va I $A_3$ U* ] ὑπάρχων *$A_1$*, *om. $A_2$*, ὑπάρχον *Y T G K Patr.* || 171 ἔτι ] *om. Y* || 172 λίθοις *Va I K U* ] καὶ praem. *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 172 ἀκάνθαις *Va I K U* ] καὶ praem. *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 173 μὴ *I $A_1$ Y T G K U* ] μήτε Va $A_2$ $A_3$ || 174 ἀναδραμὸν *Va I $A_2$ $A_3$ Y G K U* ] ἀναδραμῶν *$A_1$ T* || 175 ἴδῃ *Va I $A_2$ $A_3$ Y T G K $U^{pc}$* ] εἴδῃ *$A_1$*, ἤδη *$U^{ac}$* || 175 ἑαυτὸ *Va I $A_2$ Y T G $U^{ac}$* ] αὐτῷ *$A_1$ $A_3$*, ἑαυτῷ *K $U^{pc}$* (*al. man.*) || 175 λοιπὸν *Va I K U* ] om. *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 176 τοιοῦτον ] τοιούτων $U^{ac}$ (*corr. al. man.*) || 176 καὶ ] *om. Y* || 176–177 ὅτε ἁπαλὴ ἦν ] *om. I* || 177 ἦν *Va K U* ] *om. $A_2$ $A_3$*, ὑπῆρχεν *$A_1$ Y T G* || 177 ὅτε – πολλῆς *Va I K U* ] *om. $A_1$ $A_2$ $A_3$ Y T G*

ἠξιοῦτο πάντοθεν· ἐπειδὴ δὲ ἐπάγη καὶ ἐρριζώθη καὶ πρὸς ὕψος ἀνέδραμεν, ἐπειδὴ τὴν οἰκουμένην ἅπασαν ἐπλήρωσε, καὶ περιεῖλεν τὰ τειχία καὶ τὰ ἀσφαλίσματα λοιπὸν ἀνεῖλεν ὁ Χριστός. Διὰ τοῦτο παρὰ μὲν τὴν ἀρχὴν καὶ ἀναξίοις χαρίσματα ἐδίδοτο· χρείαν γὰρ εἶχε τὸ ἁπαλὸν τῆς πίστεως ταύτης τῆς βοηθείας· νυνὶ δὲ οὐδὲ ἀξίοις δίδοται· ἡ γὰρ ἰσχὺς τῆς πίστεως οὐκέτι ταύτης δεῖται τῆς συμμαχίας.

Καὶ ἵνα μάθῃς ὅτι οὐκ ἐψεύδοντο ἐκεῖνοι, ἀλλ' ἀληθῶς σημεῖα ἐποίησαν καὶ ἀναξίοις ἀνθρώποις χαρίσματα ἐδίδοτο, ἵνα πρὸς τοῖς εἰρημένοις καὶ ἕτερόν τι κατορθωθῇ, καὶ τοῦ θεοῦ τὴν δωρεὰν αἰδεσθέντες ἐκεῖνοι ἀποθῶνται τὴν πονηρίαν, ὁ Ἰούδας τῶν δώδεκα[78] παρὰ πᾶσιν ὡμολόγηται, ὅτι σημεῖα ἐποίει, ὅτι δαίμονας ἐξέβαλεν, ὅτι νεκροὺς ἤγειρεν, ὅτι λεπροὺς ἐκάθηρεν, ἀλλ' ὅμως ἐξέπεσε τῆς βασιλείας τῶν οὐρανῶν. Οὐ γὰρ ἴσχυσεν αὐτὸν | σῶσαι τὰ σημεῖα, col. 82
ἐπειδὴ λῃστὴς καὶ κλέπτης[79] καὶ τοῦ Δεσπότου προδότης[80] ἐγένετο.

Ὅτι μὲν οὖν τὰ σημεῖα οὐκ ἴσχυσε σῶσαι χωρὶς πολιτείας ἀρίστης καὶ βίου καθαροῦ καὶ διηκριβωμένου, ἀπὸ τούτων ἀποδέδεικται· ὅτι δὲ πολιτεία οὐκ ἔχουσα τὴν ἀπὸ τῶν σημείων παραμυθίαν, οὐδὲ σύμμαχον λαβοῦσα ἐκείνην, ἀλλ' αὕτη καθ' ἑαυτὴν φανεῖσα ἴσχυσε μετὰ παρρησίας εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἄκουσον αὐτοῦ τοῦ Χριστοῦ λέγοντος· « *Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου*[81]. » « Διὰ τί; Ὅτι νεκροὺς ἤγειραν; Ὅτι λεπροὺς ἐκάθηραν[82]; Ὅτι δαίμονας ἐξήλασαν; » « Οὐχί. » « Ἀλλὰ διὰ τί; » « *Πεινῶντά με* εἴδετε, φησί, καὶ

[78]cf. Mt 10, 4–5 ; Mt 26, 47 ; Mc 14, 43 ; Lc 22, 47

[79]cf. Jn 12, 6

[80]cf. Mt 10, 4 ; Mt 26, 14–16 ; 20–25 ; Mc 3, 19 ; Mc 14, 10–11 ; 17–21 ; 43–52 ; Lc 6, 16 ; Lc 22, 3–6 ; 14 ; 47–53 ; Jn 13, 21–30 ; Jn 18, 2–11

[81]Mt 25, 34

[82]cf. Mt 10, 8

**[Ms. *Va I* $A_1$ $A_2$ $A_3$ *Y (partim) T G H (plane usque ad l. 140, deinde partim) K U*]** 178 ἐπειδὴ *Va I* $A_1$ *Y T G K U* ] ἐπεὶ $A_2$ $A_3$ || 179 τὴν οἰκουμένην ἅπασαν *Va I K U* ] πᾶσαν τὴν οἰκουμένην $A_1$ $A_2$ $A_3$ *Y T G* || 179 καὶ *Va I K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *Y T G* || 179 περιεῖλεν *Va I K U* ] περιῇρε $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 180 λοιπὸν ἀνεῖλεν *Va I* $A_1$ $A_2$ $A_3$ *Y T* ] *om. G*, ἀνεῖλεν λοιπὸν *K U* || 181 ἁπαλὸν *Va I K U* ] παλαιὸν $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 181 πίστεως Va I $A_2$ $A_3$ Y K U ] ἕνεκα *add.* $A_1$ *T G Patr.* || 182 νυνὶ *Va I K U* ] νῦν $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 182 ἡ *Va I* $A_2$ $A_3$ *T G K U* ] εἰ $A_1$ *Y* || 184 ἀλλ' ἀληθῶς *Va I G K* ] ἀλλὰ ἀληθῶς $A_1$ $A_2$ $A_3$ *Y T U* || 184 ἐποίησαν ] ἐποιοῦσαν $A_2$ || 185 ἀνθρώποις ] *om.* $A_2$ || 185 ἐδίδοτο *Va I* $A_2$ $A_3$ *Y K U* ] ἐδίδοντο $A_1$ *T G* || 185 ἵνα *Va I* $A_2$ $A_3$ *U* ] καὶ *praem.* $A_1$ *Y T G K* || 186 τοῦ θεοῦ τὴν *Va I K U* ] τὴν τοῦ θεοῦ $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 186 δωρεὰν ] φιλανθρωπίαν καὶ *praem. G* || 187 ὁ ἰούδας *Va I K U* ] ἰούδας ὁ $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 187 ὡμολόγηται *Va I* $A_2$ $A_3$ *Y T G K U* ] ὁμολογεῖται $A_1$ *Patr.* || 188 ἐξέβαλεν *I* $A_1$ $A_2$ $A_3$ *Y T G K U* ] ἐξέβαλλεν *Va Patr.* || 188 ὅτι νεκροὺς ἤγειρεν ] *om. I* || 188 ἐκάθηρεν ] ἐκάθαιρεν $A_2$ || 191 οὖν ] *om. Patr.* || 191 ἴσχυσε *Va I K U* ] ἰσχύει $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 193 σύμμαχον ] συμμαχίαν $A_1$ || 197 ὅτι νεκροὺς ἤγειραν ] *om. I* || 197 λεπροὺς ] λεπρὸς $A_1$ || 197–198 ὅτι δαίμονας ἐξήλασαν *Va I K U* (ἤλασαν $A_1$ $A_2$ $A_3$ *Y*) ] *om. T G* || 198 ἐξήλασαν *Va I K U* ] ἤλασαν $A_1$ $A_2$ $A_3$ *Y Patr.* || 198 διὰ ] *om. I* || 198 με εἴδετε *I K* ] με ἴδετε *Va T G U*, ἴδετε $A_1$, ἴδετε με $A_2$ $A_3$, εἴδετέ με *Y Patr.*

ἐθρέψατε· *διψῶντα καὶ ἐποτίσατε· γυμνὸν καὶ περιεβάλετε· ξένον καὶ συνηγάγετε*[83]. » Οὐδαμοῦ θαύματα, ἀλλὰ πανταχοῦ πολιτεία. Ὥσπερ οὖν ἐκεῖ πανταχοῦ θαύματα καὶ εὐθέως κόλασις, ἐπειδὴ γυμνὰ τὰ θαύματα τῆς πολιτείας· οὕτως καὶ ἐνταῦθα πανταχοῦ πολιτεία καὶ οὐδαμοῦ θαύματα καὶ εὐθέως ἡ σωτηρία, ἐπειδὴ ἰσχύει καὶ καθ' ἑαυτὴν σῶσαι ἡ ἀρίστη πολιτεία τοὺς κεκτημένους αὐτήν. Διὰ τοῦτο καὶ ὁ μακαριώτατος οὗτος καὶ γενναῖος καὶ θαυμάστος Λουκᾶς οὕτως ἐπέγραψε τὸ βιβλίον « Πράξεις ἀποστόλων », οὐ « θαύματα ἀποστόλων »· καίτοι καὶ θαύματα πεποιήκασιν. Ἀλλ' ἐκεῖνα μὲν ἐν καιρῷ γέγονε καὶ παρῆλθε· ταῦτα δὲ διὰ παντὸς τοῦ χρόνου πάντας ἐπιδείκνυσθαι χρὴ τοὺς σῴζεσθαι μέλλοντας. Ἐπεὶ οὖν οὐ πρὸς τὰ σημεῖα, ἀλλὰ πρὸς τὰς πράξεις τῶν ἀποστόλων ὁ ζῆλος ἡμῖν, διὰ τοῦτο οὕτως τὸ βιβλίον ἐπέγραψεν. Ἵνα γὰρ μὴ λέγῃς, μᾶλλον δὲ ἵνα μὴ λέγωσιν οἱ ῥᾴθυμοι, ἐπειδὰν αὐτοὺς παρακαλῶμεν πρὸς τὴν μίμησιν τῶν ἀποστόλων, καὶ λέγωμεν· « Μίμησαι Πέτρον, ζήλωσον Παῦλον, γενοῦ κατὰ Ἰωάννην, ἀκολούθησον Ἰακώβῳ »· ἵνα μὴ λέγωσιν· « Οὐ δυνάμεθα, οὐδὲ ἰσχύομεν· ἐκεῖνοι νεκροὺς ἀνέστησαν, λεπροὺς ἐκάθηραν », ἐπιστομίζων ἡμῶν τὴν ἀναίσχυντον ἀπολογίαν· « Σιώπα, φησί, καὶ πεφίμωσο[84]· οὐ θαύματα, ἀλλὰ πολιτεία εἰσάγει εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ζήλωσον τοίνυν τὴν πολιτείαν τῶν ἀποστόλων καὶ οὐδὲν ἔλαττον ἕξεις τῶν ἀποστόλων. »

Οὐ γὰρ τὰ σημεῖα αὐτοὺς ἀποστόλους ἐποίησεν, ἀλλ' ὁ βίος ὁ καθαρός. Καὶ ἵνα μάθῃς ὅτι οὐχὶ θαύματα, ἀλλὰ πολιτεία ἀποστόλους ἐποίησεν, καὶ ὅτι τοῦτό ἐστι τὸ γνώρισμα τῶν ἀποστόλων καὶ τῆς τούτων εἰκόνος καὶ τοῦ χαρακτῆρος τῶν μαθητῶν, ἄκουσον τοῦ Χριστοῦ τοῦτο δηλοῦντος ἡμῖν. Χαρακτηρίζων γὰρ

[83] Mt 25, 35–36
[84] cf. Mc 4, 39

**[Ms. *Va I* $A_1$ $A_2$ $A_3$ *Y (partim) T G H (plane usque ad l. 140, deinde partim) K U*]** 199 ἐποτίσατε *Va I* $A_2$ $A_3$ *K U* ] με *add.* $A_1$ *Y T G Patr.* || 199 περιεβάλετε *Va I* $A_2$ $A_3$ *K U* ] με *add.* $A_1$ *Y T G Patr.* || 199–200 συνηγάγετε ] με *add. G* || 200 οὖν *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G* ] γὰρ *K* $U^{ac}$, *eras. et* οὖν *s.l. add.* $U^{pc}$ *al. man.* || 201 κόλασις *Va* $A_1$ *Y T G K U* ] κολάσεις $A_2$ $A_3$ I || 201 οὕτως ] οὕτω *G Patr.* || 202 καὶ $A_1$ *Y T G K U* ] *om. Va I* $A_2$ $A_3$ || 202 ἡ *Va I* $A_3$ *Y T G K U* ] *om.* $A_1$ $A_2$ || 203 καὶ ] *om. Patr.* || 204 μακαριώτατος *Va I K U* ] μακάριος $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 204 θαυμάστος *Va I* $A_2$ $A_3$ *K U* ] θαυμάσιος $A_1$ *Y T G Patr.* || 205 τὸ βιβλίον ] *om.* $A_2$ || 205 ἀποστόλων ] τῶν *praem. Va I* || 206 ἐν $A_1$ $A_2$ $A_3$ *Y T G* ] *om. Va I K U* || 206 παρῆλθε ] παρῆλθε $A_1$ $A_2$ $A_3^{ac}$ *I G K U* || 207 ταῦτα ] ταύτας *U* || 207 παντὸς τοῦ χρόνου ] τοῦ χρόνου παντὸς $A_2$ || 209 ζῆλος ] ζήλου $A_1$ || 209 οὕτως ] *ante* ἐπέγραψεν *transp. K U* || 209 ἐπέγραψεν ] ὑπέγραψεν *I* || 209 λέγῃς ] λέγεις $A_2$ || 210 ἵνα $A_1$ $A_2$ $A_3$ *Y T G K U* ] *om. Va I* || 210 παρακαλῶμεν *Va I Y T G K U* ] παρακαλοῦμεν $A_1$ $A_2$ $A_3$ *Patr.* || 211 τῶν ἀποστόλων $A_1$ $A_2$ $A_3$ *Y T G K* ] *om. Va I U* || 211 λέγωμεν ] λέγομεν *Patr.* || 212 ἰακώβῳ *I Y T K U* ] ἰακόβῳ *Va G*, ἰάκωβον $A_1$ $A_2$ $A_3$ *Patr.* || 213 ἐκεῖνοι *Va I* $A_2$ $A_3$ *K U* ] γὰρ *add.* $A_1$ *Y T G Patr.* || 213 λεπροὺς *Va I* $A_1$ *Y T G K U* ] ἐκεῖνοι *praem.* $A_2$ $A_3$ || 213 ἐπιστομίζων ἡμῶν Va $A_1$ $A_2$ $A_3$ Y T G K ] ἐπιστομίζομεν (ἐπιστομίζωμεν *U*) αὐτῶν *I U* || 214 φησί ] φησίν $A_1$ $A_2$ $A_3$ || 214 καὶ *Va I K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 215 εἰσάγει ] *post* βασιλείαν *transp.* $A_1$ $A_2$ $A_3$ *Y T G* || 216 καὶ – ἀποστόλων ] *om.* $A_1$ || 216 ἔλαττον ἕξεις ] ἕξεις ἔλαττον *G* || 217 αὐτοὺς *Va I K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *Y T G* || 217–218 καὶ – ἐποίησεν ] *om.* $A_1$ $A_2$ $A_3$ *Y T G* || 218 τοῦτό $A_1$ $A_2$ $A_3$ *Y T G K U* ] οὐ *praem. Va I* || 219 τῶν ἀποστόλων – τούτων *Va I K U* ] τῆς ἀποστολικῆς $A_1$ $A_2$ $A_3$ *Y T G* || 220 τῶν ] τοῦ *praem.* $A_2$ || 220 ἡμῖν *Va I K U* ] τὸ σημεῖον $A_1$ $A_2$ $A_3$ *Y T G*

τῶν μαθητῶν τὰς εἰκόνας καὶ δεικνὺς τί ποτε ἀποστολῆς ἐστι γνώρισμα οὕτως εἶπεν· « *Ἐν τούτῳ γνώσονται πάντες ὅτι μαθηταί μου ἐστέ*[85] ». « *Ἐν τούτῳ* », ποίῳ; « Ἐν τῷ θαύματα ποιεῖν, ἐν τῷ νεκροὺς ἐγείρειν; » « Οὐχὶ », φησίν· ἀλλ' ἐν τίνι; « *Ἐν τούτῳ γνώσονται πάντες ὅτι μαθηταί μοῦ ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους*[86]. » Ἡ δὲ ἀγάπη οὐχὶ θαυμάτων, ἀλλὰ πολιτείας ἐστί. *Πλήρωμα* γὰρ *νόμου ἐστὶν ἡ ἀγάπη*[87]. Εἶδες τὸ γνώρισμα τῶν μαθητῶν, εἶδες τὴν εἰκόνα τῆς ἀποστολῆς, εἶδες τὴν μορφήν, εἶδες τὸν τύπον; Μηδὲν πλέον ζήτει. Ὁ γὰρ Δεσπότης ἀπεφήνατο ὅτι ἀγάπη χαρακτηρίζει τοὺς μαθητάς. Ἂν τοίνυν ἔχῃς ἀγάπην, ἀπόστολος γέγονας καὶ τῶν ἀποστόλων πρῶτος. |

**δ'**. Βούλει καὶ ἑτέρωθεν τοῦτο μαθεῖν; Πρὸς Πέτρον εἰπών· « Πέτρε φιλεῖς *με* col. 83
*πλέον τούτων*[88]; »· τούτου δὲ οὐδὲν ἴσον εἰς τὸ τυχεῖν βασιλείας οὐρανῶν, ἀλλ' ἢ ὅταν φανῶμεν τὸν Χριστὸν ἀγαπῶντες, ὡς φιλεῖν δεῖ. Καὶ τὸ γνώρισμα εἶπε. Τί ποτ' οὖν ἐστι τοῦτο, καὶ τί ποιοῦντες δυνάμεθα φιλεῖν πλέον τῶν ἀποστόλων; « Ἆρα τοὺς νεκροὺς ἐγείροντες; Ἢ ἄλλα τινὰ θαύματα ἐπιδεικνύμενοι; » « Οὐδαμῶς. » « Ἀλλὰ τί ποιοῦντες; » Αὐτοῦ τοῦ φιλουμένου Χριστοῦ ἀκούσωμεν. « Εἰ γὰρ φιλεῖς *με πλέον τούτων*, φησί, *ποίμαινε τὰ πρόβατά μου*[89]. » Ἰδοὺ καὶ ἐνταῦθα πολιτεία εὐδοκιμεῖ. Τὸ γὰρ κηδεμονικὸν, τὸ συμπαθητικὸν, τὸ προστατικὸν, τὸ μὴ τὰ ἑαυτοῦ ζητεῖν[90] καὶ τὰ ἄλλα πάντα ἃ τὸν ποιμαίνοντα ἔχειν δεῖ, πάντα ταῦτα πολιτείας ἐστὶ καὶ κατορθωμάτων, οὐχὶ θαυμάτων καὶ σημείων. « Ἀλλ'

[85] Jn 13, 35
[86] Jn 13, 35
[87] Rm 13, 10
[88] Jn 21, 15
[89] Jn 21, 15–16
[90] cf. Ph 2, 4 ; 21

**[Ms. *Va I $A_1$ $A_2$ $A_3$ Y (partim) T G H (plane usque ad l. 140, deinde partim) K U*]** 221 ποτε ] ποτ' *$K^{ac}$ U*, ποτ' ἂν *Va I* || 221 ἀποστολῆς ] ἀποστολή *Va* || 221 ἐστι *Va I K U* ] post ποτέ *transp.* *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 222 ἐν – ἐστέ ] *om. G* || 222 μαθηταί μου ] ἐμοὶ μαθηταί *I* || 223 οὐχὶ *Va I $A_1$ Y T G K U* ] οὐ *$A_2$ $A_3$* || 224 μαθηταί μοῦ *Va I $A_2$ $A_3$ K U* ] ἐμοὶ μαθηταί *$A_1$ Y T G Patr.* || 225 πολιτείας ] πολιτεία *$A_1$* || 225 ἐστὶν *Va I K U* ] *om.* *$A_1$ $A_2$ $A_3$ Y T G* || 226 εἶδες *Va I $A_3^{pc}$ Y T G K U* ] ἴδες *$A_1$ $A_2$ $A_3^{ac}$* || 226 εἶδες *Va I $A_3^{pc}$ Y T G K U* ] ἴδες *$A_1$ $A_2$ $A_3^{ac}$* || 226 εἶδες *Va I $A_3^{pc}$ Y T G K U* ] ἴδες *$A_1$ $A_2$ $A_3^{ac}$* || 227 εἶδες *Va I $A_3^{pc}$ Y T G K U* ] ἴδες *$A_1$ $A_2$ $A_3^{ac}$* || 228 ἔχῃς *Va I $A_1$ Y T K U* ] ἔχεις *$A_2$ $A_3^{ac}$ G* || 229 πρῶτος *Va I $A_1$ Y T G K U* ] ὁ *praem.* *$A_2$ $A_3$* || 230 **δ'**. καὶ *Va I Y T G K U* ] *om.* *$A_1$ $A_2$ $A_3$* || 230 εἰπών *Va I $A_2$ $A_3$ K U* ] ὁ χριστὸς *add.* *$A_1$ Y T G* || 231 τούτων *Va I $A_2$ $A_3$ K U* ] φησί *add.* *$A_1$ Y*, φησὶ κύριε σὺ οἶδας ὅτι φιλῶ σε *add. T G* || 231 οὐδὲν ἴσον *Va I K U* ] ἴσον οὐδὲν *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 231 ἀλλ' ] *om. T* || 232 ἢ *Va I K U* ] *om.* *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 232 ἀγαπῶντες *Va I K U* ] φιλοῦντες *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 232 δεῖ ] δὴ *$A_1$* || 234 τοὺς ] *om. G* || 236 φησί *Va I K U* ] ante πλέον *transp.* *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 237–238 τὸ – ζητεῖν ] τὸ μὴ τὰ ἑαυτοῦ ζητεῖν τὸ προστατικὸν *K $U^{ac}$* (α' *et* β' *s.l. adn. al. man.*) || 238 ἑαυτοῦ *Va I $A_1$ Y T G K U* ] σαυτοῦ *$A_2$ $A_3$* || 238 καὶ τὰ ἄλλα *Va I K U* ] ἀλλὰ *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 238–239 ταῦτα πάντα *Va I $A_2$ $A_3$ K U* ] πάντα ταῦτα *$A_1$ T G Patr.* || 239 καὶ κατορθωμάτων *Va I $A_2$ $A_3$ K U* ] *om.* *$A_1$ Y T G Patr.* || 239 καὶ *Va I K U* ] οὐδὲ *$A_1$ $A_2$ $A_3$ Y T G*

ἐκεῖνοι διὰ τὰ θαύματά, φησι, τοιοῦτοι γεγόνασιν. » Οὐχὶ διὰ τὰ θαύματα, ἀλλὰ διὰ τὴν πολιτείαν καὶ ἐντεῦθεν μάλιστα, διὰ τοῦτο ἔλαμψαν. Διὰ τοῦτό φησιν αὐτοῖς· « *Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων*, ἵνα *ἴδωσιν* οἱ ἄνθρωποι οὐχὶ τὰ θαύματα, ἀλλὰ τὰ *ἔργα ὑμῶν τὰ καλὰ καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν* τὸν *ἐν τοῖς οὐρανοῖς*[91]. » Ὁρᾷς πανταχοῦ τὴν πολιτείαν διαλάμπουσαν, τὸν βίον τὸν ἐνάρετον θαυμαζόμενον; Βούλει σοι δείξω καὶ αὐτὸν τὸν Πέτρον τοῦτον τὸν κορυφαῖον τῶν ἀποστόλων καὶ πολιτείαν ἐπιδειξάμενον μεγίστην καὶ θαύματα ποιήσαντα ὑπερβαίνοντα ἀνθρωπίνην φύσιν, καὶ ἀμφότερα παράλληλα κείμενα καὶ τὸ θαῦμα καὶ τὴν πολιτείαν, καὶ ἀπὸ τῆς πολιτείας τιμηθέντα μᾶλλον ἢ ἀπὸ τοῦ σημείου;

Ἄκουσον τῆς ἱστορίας αὐτῆς· *Πέτρος καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν* προσεύξασθαι *ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐννάτην*[92]. Μὴ παραδράμῃς ἁπλῶς τὸ διήγημα, ἀλλ' εὐθέως ἐπιστὰς τῷ προοιμίῳ μάθε πόση ἦν ἡ ἀγάπη καὶ ἡ συμφωνία καὶ ἡ ὁμόνοια, καὶ πῶς οὗτοι πανταχοῦ ἐκοινώνουν ἀλλήλοις καὶ συνδεδεμένοι τῷ συνδέσμῳ τῆς κατὰ Θεὸν φιλίας πάντα ἔπραττον καὶ ἐν τραπέζῃ καὶ ἐν εὐχῇ καὶ ἐν βαδίσμασι καὶ ἐν τοῖς ἄλλοις ἅπασι μετὰ ἀλλήλων ἐφαίνοντο. Εἰ δὲ ἐκεῖνοι οἱ στῦλοι[93], οἱ πύργοι, οἱ πολλὴν παρρησίαν ἔχοντες πρὸς τὸν Θεόν, τῆς παρ' ἀλλήλων ἐδέοντο βοηθείας καὶ ὑπὸ τῆς παρ' ἀλλήλων συμμαχίας διωρθοῦντο, πόσῳ μᾶλλον οἱ ἀσθενεῖς καὶ ταλαίπωροι καὶ οὐδενὸς ἄξιοι λόγου

[91] Mt 5, 16
[92] Ac 3, 1
[93] cf. Ga 2, 9

**[Ms. *Va I $A_1$ $A_2$ $A_3$ Y (partim) T G H (plane usque ad l. 140, deinde partim) K U*]** 240 διὰ – φησι *Va I $A_2$ $A_3$* (φησι – θαύματα *$A_1$ $A_2$ $A_3$ Y T G*) ] *om. K $U^{ac}$*, διὰ τὰ θαύματά φησι τοιοῦτοι γεγόνασιν *corr. $U^{mg}$* (*al. man.*) || 240 φησι *Va I $A_2$ $A_3$* ] *post* ἐκεῖνοι *transp. $A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 240 οὐχὶ διὰ τὰ θαύματα ] *ante* τοιοῦτοι *transp. K U* || 240 τὰ θαύματα ] ταῦτα *I* || 241 διὰ τοῦτο *Va I K U* ] *om. $A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 241 ἔλαμψαν ] ἔλαβον *I* || 242 αὐτοῖς *$A_1$ $A_2$ $A_3$ Y T G K U* ] *om. Va I* || 242–243 οἱ ἄνθρωποι ] *om. K* || 243 ἔργα ὑμῶν τὰ καλὰ *Va I K U* ] καλὰ ἔργα ὑμῶν *$A_1$ $A_2$ $A_3$ Y T G* || 243 δοξάσωσι *Va I $A_2$ $A_3^{pc}$ Y T G K U* ] δοξάσουσιν *$A_1$ $A_3^{ac}$* || 244 διαλάμπουσαν ] ἐκλάμπουσαν *$A_2$*, καὶ *add. G* || 245 τοῦτον ] *om. G* || 245–246 τὸν κορυφαῖον ] τῶν κορυφαίων *$A_1$* || 248 τιμηθέντα *Va I K U* ] *post* σημείου (σημείων) *transp. $A_1$ $A_2$ $A_3$ Y T G* || 249 τοῦ σημείου *Va I K U* ] τῶν σημείων *$A_1$ $A_2$ $A_3$ Y T G* || 250 ἄκουσον *Va I K U* ] ἄκουε *$A_1$ $A_2$ $A_3$ Y T G* || 250 αὐτῆς *Va I K U* ] ταύτης *$A_1$ $A_2$ $A_3$ Y T G* || 250–251 προσεύξασθαι *add. Va I K U* ] *om. $A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 251 ἐπὶ *Va I K U* ] περὶ *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 252 ἐπιστὰς *Va I $A_2$ $A_3$ K U* ] ἐπίστα *$A_1$ $A_2$ $A_3$ Y T Patr.*, ἐπίστηθι *G* || 252 μάθε *Va I $A_2$ $A_3$ K U* ] καὶ *praem. $A_1$ Y T G Patr.* || 252 πόση *Va I $A_1$ Y T G K U* ] ὅση *$A_2$ $A_3$* || 253 οὗτοι πανταχοῦ *Va I K U* ] πανταχοῦ οὗτοι *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 254 συνδέσμῳ *Va I K U* ] δεσμῷ *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 254 πάντα *Va I K U* ] ἅπαντα *$A_1$ $A_2$ $A_3$ Y T G* || 254 ἔπραττον ] ἐπράττων *$A_1$* || 255 εὐχῇ *Va I $A_1$ $A_2$ $A_3$ Y T G* ] προσευχῇ *K U* || 255 βαδίσμασι *Va I K U* ] βαδίσει *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 255 μετὰ *Va $A_1$ Y T G K U* ] μετ' *I $A_2$ $A_3$* || 256 οἱ πύργοι *$A_1$ $A_2$ $A_3$ Y T G K U* ] *om. Va I* || 256 τὸν *Va I Y T K U* ] *om. $A_1$ $A_2$ $A_3$ G* || 257 ἀλλήλων ] γράφεται καὶ βοηθούντων $U^{mg}$ (*al. man.*) || 257 ἐδέοντο ] *post* συμμαχίας *transp. I* || 257 βοηθείας – ἀλλήλων ] om. I || 258 διωρθοῦντο ] *om. I* || 258 μᾶλλον *Va I K U* ] ἡμεῖς *add. $A_1$ $A_2$ $A_3$ Y T G Patr.*

τῆς ἀλλήλων δεηθησόμεθα βοηθείας; *Ἀδελφὸς* γὰρ *ὑπὸ ἀδελφοῦ βοηθούμενος ὡς πόλις ὀχυρά*[94]. Καὶ πάλιν· *Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό*[95]; Πέτρος καὶ Ἰωάννης καὶ τὸν Ἰησοῦν εἶχον μέσον· « *Ὅπου γὰρ* ἂν *ὦσι δύο συνηγμένοι*, φησίν, ἐν *τῷ ὀνόματί* μου, *ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν*[96]. » Εἶδες πόσον ἀγαθὸν τὸ ἐπὶ τὸ αὐτὸ εἶναι; Οὐχ ἁπλῶς δὲ ἦσαν ἐπὶ τὸ αὐτό, ἐπεὶ καὶ νῦν πάντες ἐσμὲν ἐπὶ τὸ αὐτό· ἀλλ' ἐπὶ τὸ αὐτὸ εἶναι χρὴ τῷ συνδέσμῳ τῆς ἀγάπης, τῇ διαθέσει τῆς προαιρέσεως· καὶ ὥσπερ τὰ σώματα ἡμῶν ἐγγὺς ἀλλήλων ἐστὶ νῦν καὶ συσφίγγεται ἐπὶ τὸ αὐτό, οὕτω καὶ τὰς καρδίας συσφίγγεσθαι δεῖ.

*Πέτρος καὶ Ἰωάννης ἀνέβαινον ἐν τῷ ἱερῷ*. Τίνος ἕνεκεν λοιπὸν ἐπὶ τὸ ἱερόν ; *Ἐσχίσθη τὸ καταπέτασμα*[97], ἠρημώθη τὰ Ἅγια τῶν ἁγίων, ἀνῃρέθη ἡ ἐν ἑνὶ τόπῳ προσκύνησις. Ὁ Παῦλος βοᾷ λέγων· « Ἐν παντὶ τόπῳ ἐπαίρετε ὁσίους χεῖρας[98] »· « *ἐν παντὶ γὰρ τόπῳ τῆς δεσποτείας αὐτοῦ εὐλογεῖ ἡ ψυχή μου τὸν κύριον*[99] ». « Τί τοίνυν τρέχουσιν αὐτοὶ εἰς τὸ ἱερὸν προσεύξασθαι; Πάλιν ἐπὶ τὴν ἀσθένειαν ἦλθον Ἰουδαϊκήν. » Οὐχὶ μὴ γένοιτο, ἀλλὰ συγκαταβαίνουσι τοῖς ἀσθενεστέροις ἐκεῖνο πληροῦντες τὸ ῥῆμα Παύλου, τὸ λέγον « *Ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος*[100]. » Συγκαταβαίνουσι τοῖς ἀσθενέσιν, ἵνα μὴ μείνωσιν ἀσθενεῖς | ἐκεῖνοι. col. 84

[94] Pr 18, 19
[95] Ps 133 (132), 1 ; cf. Ac 2, 47
[96] Mt 18, 20
[97] Mt 27, 51 ; Mc 15, 38, Lc 23, 45
[98] 1 Tm 2, 8
[99] Ps 103 (102), 22
[100] 1 Co 9, 20

**[Ms. *Va I $A_1$ $A_2$ $A_3$ Y (partim) T G H (plane usque ad l. 140, deinde partim) K U*]** 259 δεηθησόμεθα *Va I K U* ] δεησόμεθα *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 259 ὑπὸ *Va I $A_1$ $A_2$ $A_3$ Y G* ] ὑπ' *T K U* || 261 ἰωάννης *Va I K U* ] ἦσαν *add. $A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 261 ἰησοῦν ] χριστὸν *I* || 261 μέσον *$A_1$ $A_2$ $A_3$ Y* ] εἰς *praem. T G* || 262 δύο συνηγμένοι *Va I $A_2$ $A_3$ K U* ] συνηγμένοι δύο ἢ τρεῖς *$A_1$ Y T G Patr.* || 262 ἐν τῷ ὀνόματί μου *Va I $A_1$ $A_2$ $A_3$ Y T G* ] εἰς τὸ ἐμὸν ὄνομα *K U* || 262 ἐκεῖ *Va I K U* ] ἐγὼ *praem. $A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 263 εἶδες *Va I $A_3^{pc}$ Y T G K U* ] ἴδες *$A_1$ $A_2$ $A_3^{ac}$* || 263 ἀγαθὸν *Va I K U* ] ἐστὶ *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 263–264 ἐπὶ – αὐτὸ ] *om. I* || 263 ἐπεὶ ] ἐπὶ *Patr.* || 264 ἐπὶ τὸ αὐτό *Va K U* ] *post* νῦν *transp. $A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 266 νῦν *$A_1$ $A_2$ $A_3$ Y T G K U* ] *om. Va I* || 266 οὕτω *I $A_2$ $A_3$ Y T G* ] οὕτως *$A_1$ Va K U* || 267 δεῖ *Va I $A_2$ $A_3$ K U* ] χρὴ *$A_1$ Y T G Patr.* || 268 πέτρος ] γὰρ *add. G* || 268 ἐν τῷ ἱερῷ *Va I K U* ] εἰς τὸ ἱερόν *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 268 τίνος – ἱερόν *Va I $A_2$ $A_3$ G K U* ] *om. $A_1$ Y T* || 268 ἐπὶ *Va I K U* ] εἰς *$A_2$ $A_3$ G* || 269 τόπῳ ] τόπ* *G* || 270 ὁ *Va I $A_1$ $A_2$ $A_3$ Y T G K U* ] καθὼς *K U* || 270 ἐπαίρετε ] ἐπαίροντες *Va I K U*, ἐπαίρεται *$G^{ac}$* (*corr. cum* ε *s. l.*) || 270 ὁσίους *Va I $A_1$ $A_2$ $A_3$ Y G U* ] ὁσίας *T*, ὁσίως *K* || 271 ἐν παντὶ – κύριον Va I K $U^{pc}$ (*usque ad* αὐτοῦ *habet K*) ] *om. $A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 271 τῆς δεσποτείας αὐτοῦ *K U* ] *om. Va I* || 271 εὐλογεῖ – κύριον Va I $U^{mg}$ (*al. man.*) ] *om. K* || 272 αὐτοὶ *Va I $A_1$ Y T G K U* ] οὗτοι *$A_2$ $A_3$* || 272–273 ἀσθένειαν ἦλθον ἰουδαϊκήν *Va I U* ] ἀσθένειαν ἦλθον τὴν ἰουδαϊκήν *$A_2$ $A_3$ K*, ἰουδαϊκὴν ἦλθον ἀσθένειαν *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 273 οὐχὶ *Va I $A_2$ $A_3$ K U* ] *om. $A_1$ Y T G Patr.* || 274 ἐκεῖνο ] ἐκείνῳ *$A_1$* || 274 ῥῆμα παύλου *Va I $A_1$ $A_2$ $A_3$ Y T G* ] παύλου ῥῆμα *K U* || 274 παύλου *$A_1$ $A_2$ $A_3$ Y T G K U* ] τοῦ *praem. Va I*

Ἄλλως δὲ καὶ ἐκεῖ συνήγετο πᾶσα ἡ πόλις[101]. Καθάπερ οὖν ἁλιεῖς[102] ἄριστοι ἐκείνους τοὺς κόλπους τῶν ποταμῶν διώκουσιν, ἔνθα ἂν πάντες συλλέγωνται οἱ ἰχθύες, ὥστε μετ' εὐκολίας ἐπιτυχεῖν τῆς θήρας· οὕτω δὴ καὶ οἱ ἀπόστολοι οὗτοι οἱ πνευματικοὶ ἁλιεῖς εἰς ἐκεῖνον τὸν κόλπον ἔσπευδον, ὅπου πᾶσα ἡ πόλις συνήγετο, ἵν' ἐκεῖ τὸ τοῦ Εὐαγγελίου δίκτυον ἁπλώσαντες μετ' εὐκολίας ἐπιτύχωσι τῆς ἄγρας. Τοῦτο δὲ ἐποίουν μιμούμενοι τὸν δεσπότην καὶ διδάσκαλον. Καὶ γὰρ ὁ Χριστός φησι· « *Καθ' ἡμέραν* μεθ' ὑμῶν *ἤμην ἐν τῷ ἱερῷ*[103]. » « Διὰ τί ἐν τῷ ἱερῷ; » Ἵνα τοὺς ἐκ τοῦ ἱεροῦ λάβῃ. Οὕτω καὶ οὗτοι ἀπήρχοντο μὲν ὡς δῆθεν προσευξόμενοι, διδασκαλίαν δὲ ἤμελλον σπείρειν ἐκεῖ.

*Εἰς τὸ ἱερὸν* προσεύξασθαι περὶ *τὴν ὥραν τῆς προσευχῆς τὴν ἐννάτην*[104]. Οὐδὲ ἁπλῶς ἡ ὥρα αὐτοῖς παρατετήρηται. Καὶ γὰρ εἶπον ὑμῖν πολλάκις περὶ τῆς ὥρας ταύτης ὅτι ἐν ταύτῃ τῇ ὥρᾳ παράδεισος ἠνεώχθη καὶ ὁ λῃστὴς εἰσῆλθεν[105], ἐν ταύτῃ τῇ ὥρᾳ ἡ κατάρα ἀνῃρέθη[106], ἐν ταύτῃ ἡ θυσία τῆς οἰκουμένης προσηνέχθη[107], ἐν ταύτῃ τὸ σκότος ἐλύθη[108], ἐν ταύτῃ τὸ φῶς ἔλαμψε καὶ τὸ αἰσθητὸν καὶ τὸ νοητόν. *Περὶ ὥραν ἐννάτην*[109], ὅτε ἕτεροι ἀπὸ ἀρίστου καθεύδουσιν ὕπνον βαθύν, τότε ἐκεῖνοι νήφοντες καὶ διεγηγερμένοι καὶ πολλῷ τῷ πόθῳ ζέοντες ἐπὶ τὴν προσευχὴν ἔσπευδον. Εἰ δὲ ἐκεῖνοι εὐχῆς ἐδέοντο, εὐχῆς οὕτω ἐκτενοῦς, εὐχῆς οὕτω διηκριβωμένης, οἱ τοσαύτην ἔχοντες παρρησίαν, οἱ μηδὲν ἑαυτοῖς

[101] cf. Ac 3, 9
[102] cf. Mt 4, 18–19 ; Mc 1, 16–17 ; Lc 5, 4–5
[103] Mt 26, 55 ; Mc 14, 49 ; cf. Jn 18, 20
[104] Ac 3, 1
[105] cf. Lc 23, 43
[106] cf. Ga 3, 13
[107] cf. He 10, 12
[108] cf. Mt 27, 45 ; Mc 15, 33 ; Lc 23, 44
[109] Ac 3, 1

**[Ms. *Va I* $A_1$ $A_2$ $A_3$ *Y (partim) T G H (plane usque ad l. 140, deinde partim) K U*]** 277 κόλπους ] τόπους $A_2$ || 277 ἂν *Va I K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 277 πάντες *Va I* $A_1$ *Y T G K U* ] ἅπαντες $A_2$ $A_3$ || 277 συλλέγωνται *Va I K U* ] συλλέγονται $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 278 ἐπιτυχεῖν ] ἐπιτύχωσι $A_1$ || 279 κόλπον ] τόπον $A_2$ || 279 ἔνθα *Va I K U* ] ὅπου $A_1$ $A_2$ $A_3$ *Y T G*, γράφεται ὅπου $U^{mg}$ (*cum siglo in textu*) || 280 ἵν' $A_2$ $A_3$ Va I K U ] ἵνα $A_1$ *Y T G Patr.* || 281 ἐπιτύχωσι ] τύχωσι *Patr.* || 281 δεσπότην καὶ *Va I K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 283 οὗτοι ] αὐτοὶ $A_2$ || 284 ὡς δῆθεν προσευξόμενοι *Va I K U* ] ὡς προσευξάμενοι $A_1$, ὥσπερ εὐξόμενοι $A_2$, ὡς προσευξόμενοι $A_3$ *Y T G Patr.* || 284 ἤμελλον *Va I K U* ] ἔμελλον $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 284 σπείρειν *Va I K U* ] κατασπείρειν $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 285 εἰς ] πέτρος καὶ ἰωάννης ἀνέβαινον *praem. K U* || 286 ἁπλῶς *Va I K U* ] *post* αὐτοῖς *transp.* $A_1$ $A_2$ $A_3$ *Y T G* || 286 ὑμῖν ] πολλὰ *add. Va* || 287 ταύτῃ τῇ ὥρᾳ *Va I K U* ] αὐτῇ $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 287–288 παράδεισος – ὥρᾳ ] *om. I* || 287 παράδεισος *Va* $A_1$ *K U* ] ὁ *praem.* $A_2$ $A_3$ *Y T G Patr.* || 287 ἠνεώχθη *Va K U* ] ἀνεῴγη $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 287 ὁ ] *om. Va* || 288 ταύτῃ τῇ ὥρᾳ *Va K U* ] αὐτῇ $A_1$ $A_2$ $A_3$ *Y T G* || 288 ἡ ] *om. Va I* || 288 ταύτῃ *Va I K U* ] αὐτῇ $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 289 ταύτῃ *Va I* $A_1$ (*τ*$^1$ *add. in textu*) $A_3$ *Y T G K U* ] αὐτῇ $A_2$ *Patr.* || 289 ἐν ταύτῃ *Va I* $A_1$ $A_2$ $A_3$ *G* ] ἐν αὐτῇ *Y T Patr.*, καὶ *K U* || 289 τὸ ] *om. Va* || 290 τὸ $A_1$ $A_2$ $A_3$ *Y T G* ] *om. K U* || 290 ἀρίστου *Va I K U* ] καὶ μέθης *add.* $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 292–293 οὕτω ἐκτενοῦς εὐχῆς *Va* $A_1$ $A_2$ $A_3$ *Y T G U* ] *om. I K*

συνειδότες πονηρὸν, τί ποιήσομεν ἡμεῖς οἱ μυρίων γέμοντες τραυμάτων, οὐκ ἐπιτιθέντες δὲ τῆς εὐχῆς τὸ φάρμακον; Μέγα ὅπλον εὐχή. Βούλει μαθεῖν πῶς μέγα ὅπλον εὐχή; Προστασίαν πενήτων παρέδραμον οἱ ἀπόστολοι, ἵνα πλείονα σχολὴν περὶ τὴν εὐχὴν ἔχωσι. « Καταστήσατε γάρ, φησίν, *ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτά· ἡμεῖς δὲ τῇ προσευχῇ* καὶ τῇ δεήσει *καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσωμεν*[110]. »

**ε'**. Ἀλλ' ὅπερ ἔλεγον· μὴ ἐκπέσωμεν τῆς ὑποθέσεως, ὅτι ὁμοῦ ὁ Πέτρος καὶ πρᾶξιν ἐπεδείξατο καὶ θαύματα ἐποίησε καὶ ἀπὸ τῆς πράξεως ἐπαινεῖται μᾶλλον· *Ἀνῆλθον* γοῦν *εἰς τὸ ἱερὸν προσεύξασθαι· καὶ ἰδοὺ χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ βασταζόμενος* ἔκειτο *πρὸς τὴν θύραν τοῦ ἱεροῦ*[111]. Ἀπ' αὐτῶν τῶν ὠδίνων ἡ πήρωσις τῆς φύσεως ἦν καὶ μεῖζον ἰατρικῆς τέχνης τὸ νόσημα, ἵνα μειζόνως ἐπιδειχθῇ ἡ τοῦ Χριστοῦ δύναμις. Οὗτος τοίνυν *ὁ χωλὸς* ἔκειτο *παρὰ τὴν θύραν τοῦ ἱεροῦ·* καὶ *ἰδὼν αὐτοὺς εἰσιόντας, προσεῖχεν αὐτοῖς*, ζητῶν *ἐλεημοσύνην λαβεῖν παρ' αὐτῶν*[112]. Τί οὖν ὁ Πέτρος; « *Βλέψον εἰς ἡμᾶς*[113] », φησίν. Ἱκανὴ ἀπὸ τῆς ὄψεως ἡ ἀπόδειξις τῆς ἀκτημοσύνης· οὐ χρεία λόγων, οὐδὲ ἀποκρίσεως, οὐδὲ διδασκαλίας· ὁ στολισμός δείκνυσί σοι τὸν ἀκτήμονα. Τοῦτο οὖν ὅλον τὸ κατόρ-

[110] Ac 6, 3–4
[111] Ac 3, 1–2
[112] Ac 3, 3 ; 5
[113] Ac 3, 4

**[Ms. *Va I* $A_1$ $A_2$ $A_3$ *Y (partim) T G H (plane usque ad l. 140, deinde partim) K U*]** 294 ποιήσομεν *Va I* $A_3^{pc}$ *Y T G* $K^{pc}$ *U* ] ποιήσωμεν $A_1$ $A_2$ $A_3^{ac}$ $K^{ac}$ || 294 οἱ *Va I K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *Y T G* || 294 μυρίων *Va I* $A_1$ *Y T G K U* ] μὲν *add.* $A_2$ $A_3$ || 294 γέμοντες *Va* $A_1$ $A_2$ $A_3$ *Y T K U* ] γέμωντες *I G* || 296 εὐχή *Va I K U* ] ἡ *praem.* $A_1$ *Y T G Patr.* || 296 προστασίαν *Va I K U* ] προστασίας $A_1$ $A_2$ $A_3$ *Y T G* || 296 παρέδραμον ] παρέδραμων *G* || 297 ἄνδρας ἐξ ὑμῶν *Va I K U* ] ἐξ ὑμῶν ἄνδρας $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 298 προσευχῇ καὶ τῇ δεήσει καὶ τῇ ] καὶ τῇ προσευχῇ *post* λόγου *transp. T* || 298 καὶ τῇ δεήσει *Va I G K U* ] om. $A_1$ $A_2$ $A_3$ *Y Patr.* || 299 προσκαρτερήσωμεν *Va I* $A_1$ $A_2$ $A_3$ *G K U* ] προσκαρτερήσομεν *Y T Patr.* || 300 **ε'**. μὴ *Va I K U* ] γὰρ *add.* $A_1$ $A_2$ $A_3$ *Y T H Patr.* || 300 ὁμοῦ ὁ *Va I* $A_2$ $A_3$ *K U* ] ὁ μὲν $A_1$ *Y T E H Patr.* || 301 καὶ[1] ] ἀπὸ τῆς πράξεως καὶ *add. K* || 301 θαυμάτα *Va I K U* ] θαῦμα $A_1$ $A_2$ $A_3$ *Y T G H Patr.* || 301 καὶ[2] *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G* ] ἀλλ' *K U* || 302 ἀνῆλθον *Va I K U* ] ἀνῆλθεν $A_1$ $A_2$ $A_3$ *Y T G H Patr.* || 302 γοῦν *Va I* $A_2$ $A_3$ *K U* ] οὖν $A_1$ *Y T G H Patr.* || 302 μητρὸς ] *om. Y* || 303 ἔκειτο ] ἐκεῖ *H Patr.* || 303 πρὸς *Va I* $A_1$ *Y T H K U Patr.* ] παρὰ $A_2$ $A_3$ || 303 τὴν θύραν *Va I T K U Patr.* ] τῇ θύρᾳ $A_1$ $A_2$ $A_3$ *Y G H* || 304 τῆς φύσεως ἦν ] β' *et* α' *s. l. adn. al. man. U* || 304 μεῖζον *Va I* $A_2$ $A_3$ *T G K U Patr.* ] μείζων $A_1$ *Y H* || 305 χριστοῦ *Va I* $A_1$ $A_2$ $A_3$ *K U* ] θεοῦ *Y T G H Patr.* || 305 δύναμις *Va I K U* ] χάρις $A_1$ $A_2$ $A_3$ *Y T G H Patr.* || 305 οὗτος *Va I* $A_2$ $A_3$ *T G K U* ] οὕτως $A_1$ *Y* || 305 τοίνυν *Va I K U* ] οὖν $A_1$ $A_2$ $A_3$ *Y T G H Patr.* || 305 παρὰ *Va I* $A_2$ $A_3$ *K U* ] πρὸς $A_1$ *Y T G H Patr.* || 305 τὴν θύραν *Va I K U* ] τὴν πύλην $A_1$ $A_2$ $A_3$ *T H Patr.*, τῇ πύλῃ $Y^{pc}$ *G* || 306–307 λαβεῖν παρ' αὐτῶν *Va I K U* ] παρ' αὐτῶν λαβεῖν $A_1$ $A_2$ $A_3$ *Y T G H Patr.* || 307 εἰς $A_1$ $A_2$ $A_3$ *Y T H K U Patr.* ] πρὸς *Va I* || 308 λόγων ] οὐδὲ ἀποδείξεως *add. H Patr.* || 309 δείκνυσί σοι *Va I K U* ] σοι δείκνυσι $A_1$ $A_2$ $A_3$ *Y T H Patr.*, δείκνυσι *G*

**[Trad. indirecta]** 302 ἀνῆλθον οὖν ] πέτρος καὶ ἰωάννης ἀνέβαινόν ποτε $ecl^{23}$, *et eis uerbis inc. excerptum* || 303–306 ἀπ' – ἱεροῦ ] *om.* $ecl^{23}$ || 308–309 οὐδὲ διδασκαλίας ] *om.* $ecl^{23}$ || 309 τοῦτο οὖν ] τί οὖν τοῦτο $ecl^{23}$

θωμα τῆς ἀποστολῆς, ἵνα ταῦτα λέγῃς πρὸς τὸν πένητα, ἵνα μὴ διορθώσῃ τὴν πενίαν, ἵνα εἴπῃς αὐτῷ· « *Οὐκ ἔχω χρυσίον καὶ ἀργύριον.* Ἀνάμεινον καὶ ὄψει μείζονα πλοῦτον. *Ἀργύριον,* φησί, *καὶ χρυσίον οὐκ ἔχω· ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ* ἔγειρε, *καὶ περιπάτει*[114]. » Εἶδες καὶ πενίαν καὶ πλοῦτον, πενίαν μὲν χρημά|των, πλοῦτον δὲ χαρισμάτων ; Οὐκ ἔλυσε πενίαν col. 85 χρημάτων, ἀλλὰ διόρθωσε πενίαν φύσεως. Ὅρα τὴν ἐπιείκειαν Πέτρου· « *Βλέψον εἰς ἡμᾶς*[115]. » Οὐχ ὕβρισεν, οὐκ ἐλοιδορήσατο, οὐκ ἀπεκρούσατο, ὃ πολλάκις ποιοῦμεν ἡμεῖς πρὸς τοὺς ἐντυγχάνοντας ἡμῖν, εὐθύνας αὐτοὺς ἀπαιτοῦντες, πρὸς ἐργασίαν αὐτοὺς παραπέμποντες, ἐγκαλοῦντες αὐτοῖς ὅτι καθεύδουσι. Μὴ γὰρ τοῦτο ἐπετάγης, ἄνθρωπε; Οὐκ ἐκέλευσέ σοι ἀργίαν ἐγκαλεῖν, ἀλλὰ πενίαν διορθοῦσθαι· οὐκ ἐποίησέ σε κατήγορον κακίας, ἀλλ’ ἰατρόν σε κατέστησε συμφορᾶς, οὐχ ἵνα ὀνειδίσῃς νωθρίαν, ἀλλ’ ἵνα χεῖρα ὀρέγῃς τοῖς κειμένοις, οὐχ ἵνα κακίζῃς τὸν τρόπον, ἀλλ’ ἵνα λύσῃς λιμόν. Ἡμεῖς δὲ τοὐναντίον ποιοῦμεν· ἀφέντες παραμυθεῖσθαι τοὺς προσιόντας τῇ δόσει τῶν χρημάτων καὶ προσεπιτρίβομεν αὐτῶν τὰ τραύματα ταῖς τῶν ἐγκλημάτων ἐπαγωγαῖς. Ἀλλ’ οὐχ ὁ

[114]Ac 3, 6
[115]Ac 3, 4

**[Ms. *Va I $A_1$ $A_2$ $A_3$ Y (partim) T G H (plane usque ad l. 140, deinde partim) K U*]** 310 διορθώσῃ ] ὀρθώσῃς *Y* || 311 πενίαν *Va I K U* ] μόνον *add. $A_1$ $A_2$ $A_3$ Y T G H Patr.* || 311 ἵνα – καί$^2$ *Va I K U* ] ἵνα (μὴ *add. $A_2$*) εἴπῃς *$A_1$ $A_2$ $A_3$ Y T G H Patr.* || 311 αὐτῷ ] ὅτι *add. I* || 311 ἀνάμεινον ] μικρὸν *add. K U* || 312 οὐκ ἔχω *Va I $A_1$ $A_3$ Y T H Patr.* ] οὐχ ὑπάρχῃ μοι *$A_2$*, οὐχ ὑπάρχει μοι *G K U* || 313 ἔγειρε *Va I $A_1$ $A_2$ $A_3^{pc}$ Y $T^{pc}$ G H U* ] ἔγειραι *$A_3^{pc}$ $T^{pc}$* (*al. man.*) *K Patr.* || 313 εἶδες *Va I $A_3^{pc}$ Y T G K U* ] ἴδες *$A_1$ $A_2$ $A_3^{ac}$* || 313 καί$^2$ *Va I $A_2$ $A_3$ K U* ] *om. $A_1$ Y T G H Patr.* || 314–315 οὐκ – χρημάτων ] *om. Y* || 315 διόρθωσε *$A_1$ $A_2$ $A_3$ Y T G H K U Patr.* ] *om. Va I* || 316 ἡμᾶς *Va I $A_1$ $A_2$ $A_3$ Y T G H* ] φησιν *add. K U* || 316 ἐλοιδορήσατο *Va I $A_1$ $A_2$ $A_3$ Y T G* ] ἐλοδόρησεν *$K^{ac}$*, ἐλοιδόρησεν *$K^{pc}$ U* || 316 οὐκ ἀπεκρούσατο ] *om. Patr.* || 316–317 πολλάκις *$A_1$ $A_2$ $A_3$ Y T G K U* ] πολλοὶ *praem. Va I* || 317 ἡμεῖς *Va I $A_1$ Y T G K U* ] *om. $A_2$ $A_3$* || 317–318 αὐτοὺς – παραπέμποντες *Va I K U* ] *om. $A_1$ $A_2$ $A_3$ Y T G H Patr.* || 317 ἀπαιτοῦντες ] ἀπαιτοῦντας *U* || 318 ἐγκαλοῦντες ] εἰσκαλοῦντες *$A_2$ $A_3^{ac}$*, εἰσβαλοῦντες *$A_3^{pc}$* || 318 αὐτοῖς *Va I $A_1$ $A_2$ $A_3$ Y T H $K^{pc}$* (*al. man.*) *Patr.* ] αὐτούς *U*, τῆς ἀργίας καὶ (καὶ *non habet G*) *add. G* || 319 ἀργίαν *$A_1$ $A_2$ $A_3$ $Y^{pc}$ T G K Patr.* ] ἀργείαν *H U*, τὸ ἀργύριον *Va I* || 320 κακίας *$A_1$ $A_2$ $A_3$ Y T G H K U Patr.* ] πενίας *Va I* || 320 ἀλλ’ ] ἀλλὰ *Patr.* || 320 σε ] *om. H Patr.* || 321 ὀνειδίσῃς *Va I K U* ] ὀνειδίζῃς *$A_1$ $A_3$ $Y^{pc}$ T G H Patr.*, ὀνειδίζεις *$A_2$* || 321 νωθρίαν *$K^{ac}$ U* ] νοθρίαν *Va I*, νοθείαν *$A_1$ H*, νωθίαν *$A_2$*, νωθείαν *$A_3$ $Y^{pc}$ T G Patr.*, νωθρείαν *$K^{pc}$* || 321 ὀρέγῃς ] ὀρέγεις *G* || 322 τὸν *Va I K U* ] *om. $A_1$ $A_2$ $A_3$ Y T G H Patr.* || 322 λύσῃς ] λύῃς *$A_2$* || 323 παραμυθεῖσθαι *Va I G K U* ] παραμυθήσασθαι *$A_1$ $A_2$ $A_3$ Y T Patr.* || 323 καὶ ] *om. T* || 324 ἐπαγωγαῖς *$A_1$ $A_2$ $A_3$ Y T G K U* ] διαγωγαῖς *Va I* || 324–325 οὐχ – ἀλλὰ ] *om. Patr.*

**[Trad. indirecta]** 310 ἵνα ταῦτα λέγῃς ] *om. $ecl^{23}$* || 311 ἀνάμεινον ] μικρὸν *add. $ecl^{23}$* || 312 οὐκ ἔχω ] οὐχ ὑπάρχει μοι *$ecl^{23}$* || 313 ἔγειρε ] ἔγειραι *$ecl^{23}$* || 313–314 καὶ πενίαν καὶ πλοῦτον ] *om. $ecl^{23}$* || 314 μὲν ] *om. $ecl^{23}$* || 314 πλοῦτον δὲ ] καὶ πλοῦτον *$ecl^{23}$* || 314–315 οὐκ – φύσεως ] *om. $ecl^{23}$* || 315 ὅρα ] λοιπὸν αὐτοῦ καὶ *add. $ecl^{23}$* || 315 πέτρου ] *om. $ecl^{23}$* || 316 ἡμᾶς ] φησιν *add. $ecl^{23}$* || 319 ἐπετάγης ] ἐπαιδεύθης *$ecl^{23}$* || 319 ἐκέλευσέ ] ἐκελεύσθης *$ecl^{23}$* || 319 σοι ] *om. $ecl^{23}$* || 319–320 ἀλλὰ πενίαν διορθοῦσθαι ] *post* ὀνειδίζειν *transp. $ecl^{23}$* || 320 οὐκ – κακίας ] οὐδὲ κακίαν κατηγορεῖν *$ecl^{23}$* || 320–321 ἀλλ’ – συμφορᾶς ] καὶ συμφορὰν ἰᾶσθαι *post* διορθοῦσθαι *transp. $ecl^{23}$* || 321 οὐχ – νωθρείαν ] οὐδὲ νωθρείαν ὀνειδίζειν *$ecl^{23}$* || 321 ἀλλ’ – κειμένοις ] καὶ χεῖρα τοῖς κειμένοις ὀρέγειν *$ecl^{23}$*, *et hic des. excerptum*

πέτρος οὕτως, ἀλλὰ καὶ ἀπολογεῖται τῷ πένητι καὶ μετ’ ἐπιεικείας διαλέγεται· « *Κλῖνον* γάρ, φησί, *πτωχῷ ἀλύπως τὸ οὖς σου καὶ ἀποκρίθητι αὐτῷ ἐν πραότητι εἰρηνικά*[116]. » « *Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειρε, καὶ περιπάτει*[117]. » Δύο ἐνταῦθά ἐστι, πολιτεία καὶ θαῦμα. Πολιτεία τὸ « *Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι* »· πολιτείας γὰρ τὸ καταφρονῆσαι χρημάτων, τὸ ῥῖψαι τὰ ὑπάρχοντα, τὸ ὑπεριδεῖν τῆς παρούσης ματαιότητος· θαῦμα δὲ τὸ ἐγεῖραι τὸν χωλόν, τὸ διορθῶσαι τὰ πεπηρωμένα μέλη[118]. Ἰδοὺ τοίνυν καὶ πολιτεία καὶ θαῦμα.

Ἴδωμεν οὖν πόθεν ὁ Πέτρος καυχᾶται. Τί εἶπεν; Ὅτι θαύματα ἐποίησε; Καίτοι καὶ θαύματα ἦν πεποιηκὼς τότε· ἀλλ’ οὐκ εἶπε τοῦτο. « Ἀλλὰ τί; » « *Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι*[119]. » Εἶδες τὴν πολιτείαν θαυμαζομένην καὶ τὴν ἀκτημοσύνην ἐπαινουμένην ; Εἶδες πολιτείαν ὁμοῦ καὶ θαύματα καὶ τὴν πολιτείαν στεφανουμένην; Τί οὖν ὁ Χριστός; Τοῦτο ἀπεδέξατο καὶ ἐπῄνεσε· « *Λέγω* γὰρ *ὑμῖν*, φησίν, *ὅτι ὑμεῖς οἱ*[120] *ἀφέντες οἰκίας*[121] », καὶ τὰ λοιπά. Οὐκ εἶπεν· « Οἱ ἀναστήσαντες νεκροὺς », ἀλλ’ « *Ὑμεῖς οἱ ἀφέντες* ὑμῶν τὰ ὑπάρχοντα, *καθίσεσθε ἐπὶ δώδεκα θρόνους*[122]· *καὶ πᾶς ὅστις ἀφῆκε*[123] τὰ ὄντα αὐτῷ πάντα, ταύτης ἀπολαύσεται τῆς τιμῆς[124]. » Οὐ δύνασαι ἀναστῆσαι χωλὸν καθάπερ ὁ Πέτρος; Ἀλλὰ δύνασαι εἰπεῖν καθάπερ πέτρος· « *Ἀργύριον καὶ χρυσίον οὐχ*

[116] Si 4, 8
[117] Ac 3, 6
[118] cf. Ac 3, 7
[119] Mt 19, 27 ; Mc 10, 28
[120] Mt 19, 28
[121] Mt 19, 29 ; Mc 10, 29
[122] Mt 19, 28 ; Lc 22, 30
[123] Mt 19, 29 ; Mc 10, 29
[124] cf. Mt 19, 29 ; Mc 10, 30

**[Ms. *Va I $A_1$ $A_2$ $A_3$ Y (partim) T G H (plane usque ad l. 140, deinde partim) K U*]** 326 *πραότητι* ] πραΰτητι *Va I* || 327 οὐχ ὑπάρχει μοι *Va I K U* ] οὐκ ἔχω *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 328 τῷ *Va I $A_1$ $A_2$ $A_3$ Y T G* ] *om. K U* || 328 ἔγειρε *Va I $A_1$ $A_2^{ac}$ $A_3^{ac}$ $T^{ac}$ G U* ] ἔγειραι *$T^{pc}$ K Patr.* || 329 θαύματα *Va I K U* ] θαῦμα *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 329 χρυσίον *$A_1$ $A_2$ $A_3$ Y T G K U* ] τὸ *praem. Va I* || 330 καταφρονῆσαι χρημάτων *Va I K U* ] καταφρονεῖν τῶν γηΐνων πραγμάτων *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 331 ἐγεῖραι τὸν χωλὸν *Va I $A_1$ $A_2$ $A_3$ Y T G* ] τὸν χωλὸν ἐγεῖραι *K U* || 331 τὸν ] *iter. G* || 331–332 πεπηρωμένα μέλη *Va I G K U* ] μέλη τὰ πεπηρωμένα *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 333 ἴδωμεν *I $A_1$ $A_2$ $A_3$ Y T G K* ] εἴδομεν *Va U* || 334 καὶ *Va I $A_2$ $A_3$ K U* ] *om. $A_1$ Y T G Patr.* || 335 εἶδες *Va I $A_3^{pc}$ Y T G K U* ] ἴδες $A_1$ $A_2$ $A_3^{ac}$ || 335 τὴν ] *om. $A_1$* || 335–336 θαυμαζομένην – πολιτείαν *Va I G K U* ] *om. $A_1$ $A_2$ $A_3$ Y T Patr.* || 336 ἐπαινουμένην ] *om. U* || 336 ὁμοῦ καὶ θαύματα *Va I G K U* ] καὶ τὸ θαῦμα *$A_1$ $A_2$ $A_3$ Y T Patr.* || 337 τοῦτο *Va I G K U* ] τοῦτον *$A_1$ $A_3$ Y T Patr.*, τούτων *$A_2$* || 339 εἶπεν *Va I $A_1$ $A_2$ $A_3$ Y T G* ] ὑμεῖς *add. K U* || 339–340 ὑμῶν τὰ ὑπάρχοντα *Va I $A_2$ $A_3$* ] τὰ ὑπάρχοντα ὑμῶν *$A_1$ Y T G K U Patr.* || 340 καθίσεσθε *Va $A_2$ $A_3$ Y T G K U* ] καθήσεσθαι *$A_1$*, καθίσεσθαι *I* || 340 *Va I $A_1$ $A_2$ $A_3$ Y T G* ] ὃς *K U* || 340 ὄντα *Va I K U* ] ὑπάρχοντα *$A_1$ $A_2$ $A_3$ Y T G Patr.* || 340 αὐτῷ *Va I $A_1$ $A_2$ $A_3$ Y T G* ] αὐτοῦ *K U* || 341 ταύτης *Va I $A_1$ $A_2$ $A_3$ Y T G* ] καὶ *praem. K U* || 342 ὁ *Va I $A_1$ $A_2$ $A_3$ Y T G* ] *om. K $U^{ac}$ (s.l. add. al. man.)* || 342 καθάπερ πέτρος *$A_2$ $A_3$* ] καθάπερ ὁ πέτρος *Va I*, ὡς ἐκεῖνος *$A_1$ $A_2$ $A_3$ Y T G Patr., om. K U*

*ὑπάρχει μοι*[125]. » Κἂν τοῦτο εἴπῃς, ἐγγὺς ἐγένου τοῦ Πέτρου· μᾶλλον δὲ οὐκ ἐὰν εἴπῃς, ἀλλ’ ἐὰν ποιήσῃς. Οὐ δύνασαι ξηρὰν διορθῶσαι χεῖρα; Ἀλλὰ δύνασαι τὴν σαυτοῦ χεῖρα ξηρὰν γινομένην ὑπὸ ἀπανθρωπίας ποιῆσαι ἐκταθῆναι διὰ φιλανθρωπίας.

« *Μὴ ἔστω* γάρ, φησίν, *ἡ χείρ σου ἐκτεταμένη εἰς τὸ λαβεῖν, ἐν* δὲ *τῷ διδόναι συνεσταλμένη*[126]. » Ὁρᾷς ὅτι οὐχ ἡ ξηρότης, ἀλλὰ καὶ ἡ ἀπανθρωπία ξηραίνει χεῖρα; Ἔκτεινον οὖν αὐτὴν διὰ φιλανθρωπίας καὶ ἐλεημοσύνης. Οὐ δύνασαι ἐκβαλεῖν δαιμόνια[127]; Ἀλλ’ ἔκβαλε ἁμαρτίαν καὶ μείζονα λήψῃ μισθόν. Εἶδες πῶς πανταχοῦ ἡ πολιτεία καὶ τὰ κατορθώματα μείζονα ἔπαινον ἔχει τῶν θαυμάτων καὶ πλείονα τὴν ἀμοιβήν; Εἰ δὲ βούλει τοῦτο καὶ ἑτέρωθεν δείξομεν. Προσῆλθον αὐτῷ, φησίν, *οἱ ἑβδομήκοντα* καὶ *χαίροντες* ἔλεγον· « *Κύριε, ἐν τῷ ὀνόματί σου καὶ τὰ δαιμόνια ἡμῖν* ὑπακούουσι[128]. » Καὶ *λέγει αὐτοῖς*[129]· « *Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν* ὑπακούει, ἀλλὰ *χαίρετε ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς*[130]. » Ὁρᾷς πῶς πανταχοῦ τὴν πολιτείαν θαυμαζομένην εἰσάγει;

ϛ’. Φέρε οὖν, ἀναλογισώμεθα τὰ εἰρημένα ἄνωθεν· « *Ἐν* | *τούτῳ γνώσονται* col. 86
*πάντες ὅτι μαθηταί μοῦ ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους*[131]. » Ἰδοὺ ἀπὸ πολιτείας, καὶ οὐκ ἀπὸ θαυμάτων τὸ γνώρισμα τοῦ μαθητὰς εἶναι. « Πέτρε, γὰρ φιλεῖς

[125] Ac 3, 6
[126] Si 4, 31 ; cf. Mt 12, 10 ; 13
[127] cf. Mc 3, 15
[128] Lc 10, 17
[129] cf. Lc 10, 18
[130] Lc 10, 20
[131] Jn 13, 35

**[Ms. *Va I* $A_1$ $A_2$ $A_3$ *Y (partim) T G H (plane usque ad l. 140, deinde partim) K U*]** 343 κἂν *Va* $A_1$ $A_2$ $A_3^{ac}$ *Y T G K U* ] ἂν $A_3^{pc}$ *I* || 343 οὐκ ἐὰν *Va I* $U^{pc}$ (al. man.) ] οὐδὲ ἐὰν $A_1^{pc}$, οὐκ ἂν $A_2$ $A_3$, οὐδ’ ἂν *K*, οὐδὲ ἂν *Y T G Patr.* || 345 τὴν σαυτοῦ *Va K U* ] διορθῶσαι *I*, τὴν σεαυτοῦ $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 345 γινομένην *Va I K U* ] γενομένην $A_1$ *Y T G*, γεναμένην $A_2$ $A_3$ || 347 ἐν δὲ τῷ *Va I* $A_1$ *Y T G K U* ] ἐπὶ δὲ τὸ $A_2$ $A_3$ || 348 ἡ ] *om. I* || 348 καὶ ] *om. I* || 348 ἡ *Va I K* ] *om.* $A_1$ $A_2$ $A_3$ *Y T G U Patr.* || 348 ξηραίνει *Va I K U* ] συστέλλει $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 349 χεῖρα *Va I* $A_2$ $A_3$ *K U* ] τὴν *praem.* $A_1$ *Y T G Patr.* || 350 δαιμόνια *Va I T K U* ] δαίμονα $A_1$ $A_2$ $A_3$ *Y G Patr.* || 350 ἀλλ’ *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G* ] *om. K U* || 350 εἶδες *Va I* $A_3^{pc}$ *Y T G K U* ] ἴδες $A_1$ $A_2$ $A_3^{ac}$ || 352 τοῦτο καὶ ἑτέρωθεν *Va I K U* ] καὶ ἑτέρωθεν τοῦτο $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 352 δείξομεν $A_1$ $A_2$ $A_3$ *Y T G K U* ] δείξωμεν *Va I* || 353 φησίν *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G* ] *om. K U* || 353 ἑβδομήκοντα *Va I K U* ] μαθηταὶ *add.* $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 353 χαίροντες *Va I G K U* ] ἔχαιρον καὶ $A_1$ $A_2$ $A_3$ *Y T Patr.* || 354 ἡμῖν $Va^{pc}$ *I* $A_1$ $A_2$ $A_3$ *Y T K U* ] ὑμῖν $Va^{ac}$ *G* || 354 ὑπακούουσι $A_1$ $A_2$ $A_3$ *Y T G* ] ὑπακούει *Va I*, ὑποτάσσεται *K U* || 355 γέγραπται *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G* ] ἐγράφη *K U* || 356 πῶς *Va I K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 356 εἰσάγει *Va I K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 358 ϛ’. μαθηταί μοῦ *Va K U* ] ἐμοὶ μαθηταί *I* $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 359 καὶ *Va I K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 359 εἶναι *Va I* $A_2$ $A_3$ *K U* ] ἀποδέδεικται *add.* $A_1$ *Y T G Patr.* || 359 πέτρε ] γὰρ εἰ (εἰ *om. K et s.l. add. al. man. U*) *add. Va I K U* || 359 γὰρ *K* $U^{ac}$ ] εἰ *add. Va I* $U^{pc}$ (*al. man.*), *om.* $A_1$ $A_2$ $A_3$ *Y T G Patr.*

*με πλέον τούτων; Ποίμαινε τὰ πρόβατά μου*[132]. » Εἶδες καὶ ἕτερον γνώρισμα καὶ αὐτὸ πάλιν ἀπὸ πολιτείας ; Τρίτον γνώρισμα· « *Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν* ὑπακούει, ἀλλὰ *χαίρετε ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς*[133]. » Καὶ τοῦτο πάλιν πολιτείας κατόρθωμα. Βούλει καὶ τετάρτον δεῖγμα τούτου μαθεῖν; « Λαμψάτω *τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς*[134]. » Ἰδοὺ καὶ ἐνταῦθα ἔργα φαίνεται. Καὶ ὅταν λέγῃ πάλιν· « *Ὅστις ἀφῆκεν οἰκίαν ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἑκατονταπλασίονα λήψεται καὶ ζωὴν αἰώνιον κληρονομήσει*[135] », τὴν πολιτείαν ἐπαινεῖ καὶ τὸν διηκριβωμένον βίον.

Εἶδες τοὺς μαθητὰς ἐκ τοῦ φιλεῖν ἀλλήλους γνωριζομένους, τὸν δὲ ὑπὲρ τοὺς ἀποστόλους φιλοῦντα τὸν Χριστὸν ἀπὸ τοῦ ποιμαίνειν τοὺς ἀδελφοὺς φαινόμενον, τοὺς δὲ ὀφείλοντας χαίρειν οὐκ ἀπὸ τοῦ δαίμονας ἐκβάλλειν, ἀλλ' ἀπὸ *τοῦ ἐγγεγράφθαι ἐν τῷ οὐρανῷ*[136] κελευομένους εὐφραίνεσθαι, καὶ τοὺς μὲν τὸν Θεὸν δοξάζοντας ἀπὸ τῆς τῶν ἔργων λαμπρότητος δεικνυμένους, τοὺς δὲ ζωῆς ἐπιτυγχάνοντας ἀπὸ τῆς τῶν παρόντων ἁπάντων ὑπεροψίας ἐπιτυγχάνοντας τῆς δωρεᾶς ;

Τούτους μίμησαι πάντας καὶ δυνήσῃ καὶ αὐτὸς καὶ μαθητὴς εἶναι καὶ ἐν τοῖς

[132] Jn 21, 15–16
[133] Lc 10, 20
[134] Mt 5, 16
[135] Mt 19, 29 ; Mc 10, 29–30
[136] Lc 10, 20

**[Ms. *Va I* $A_1$ $A_2$ $A_3$ *Y (partim) T G H (plane usque ad l. 140, deinde partim) K U*]** 360 εἶδες *Va I K U* ] ἰδοὺ $A_1$ $A_2$ $A_3$ *Y T G Patr.*, ἴδε $A_2$ $A_3$ || 360–361 καὶ – γνώρισμα ] *om. I* || 361 αὐτὸ ] αὐτῷ $A_1$ || 361 τρίτον *Va K U* ] πάλιν *add.* $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 362 *χαίρετε* ] χαίρεται *U* || 363 πάλιν πολιτείας *Va I K U* ] πολιτείας πάλιν $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 363 τετάρτον *Va I* $A_2$ $A_3$ *G K U* ] τετάρτην $A_1$ $A_2$ $A_3$ *Y T Patr.* || 363 δεῖγμα τούτου *Va I* ] δεῖγμα τοῦτο $A_2$ $A_3$, ἀπόδειξιν τούτου $A_1$ $A_2$ $A_3$ *Y T G*, παραδεῖγμα τούτου *K* $U^{ac}$, τούτου δεῖγμα $U^{pc}$ (παρα *eras. et* α' *et* β' *s.l. adn. al. man.*) || 363 μαθεῖν ] λαβεῖν *T* || 364 λαμψάτω *Va I K U* ] φησί *add.* $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 364 ὅπως *Va I G K U* ] ἵνα $A_1$ $A_2$ $A_3$ *Y T Patr.* || 364–365 ἔργα ὑμῶν *Va I* $A_2$ $A_3$ *T K U* ] ὑμῶν ἔργα $A_1$ *Y G Patr.* || 365 καὶ – οὐρανοῖς *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G* ] *om. K U* || 365 δοξάσωσι ] δοξάσουσιν $A_1$ $A_2$ δοξάσουσι $A_3$ || 366 λέγῃ ] λέγει *G* || 366 ὅστις *Va I* $A_1$ *Y T G K U* ] εἴ τις $A_2$ $A_3$ || 366–367 ἀδελφὰς ] ἕνεκεν ἐμοῦ *add.* $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 367 κληρονομήσει *I* $A_1$ *Y T G U* ] κληρομήσει *Va*, κληρονομήσῃ $A_2$ $A_3$ *K* || 368–379 ἐπαινεῖ – πολιτείαν ] *om. I* || 368 διηκριβωμένον ] ἠκριβωμένον *Va*, διηκριβομένον $A_1$ || 369 εἶδες *Va* $A_3^{pc}$ *Y T G K U* ] ἴδες πῶς $A_1$, ἴδες $A_2$ $A_3^{ac}$ || 369 τοὺς ] μὲν *add.* $A_2$ || 369 ἐκ *Va K U* ] ἀπὸ $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 369 τοῦ ] τὸ $A_1$ || 372 ἐγγεγράφθαι *Va* $A_1$ $A_2$ $A_3$ *Y T* ] ἐγγράφεσθαι *G K U* || 374 ἐπιτυγχάνοντας *Va K U* ] ἐπιτυχόντας $A_1$ *Y T G Patr.*, καὶ ἑκατονταπλασίονα λαμβάνοντας *add.* $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 374 ἁπάντων ] *om.* $A_2$ || 374–375 ἐπιτυγχάνοντας $Va^{pc}$ *(al. man.) K U* ] ἐπιτυγχάνοντες $Va^{ac}$ $A_2$ $A_3$, ἐπιτυχόντας $A_1$ *Y T G Patr.* || 375 τῆς *Va* $A_1$ $A_2$ $A_3$ *K U* ] ταύτης *praem. Y T G Patr.* || 376 καὶ αὐτὸς *Va K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *Y T G* || 376 καὶ ] om. $A_2$

φιλοῦσι τὸν χριστὸν ἀριθμεῖσθαι καὶ *ἐν οὐρανοῖς γεγράφθαι*[137] καὶ δοξάζειν τὸν Θεὸν καὶ τῆς αἰωνίου ζωῆς ἀπολαῦσαι· καὶ οὐδὲν ἔσται σοι κώλυμα πρὸς τὸ τυχεῖν τῶν ἀγαθῶν, τὸ μὴ ποιεῖν σημεῖα, ἂν πολιτείαν ἔχῃς τὴν εἰρημένην.

Καὶ γὰρ αὐτὸ τοῦτο τὸ ὄνομα Πέτρος οὐκ ἀπὸ θαυμάτων καὶ σημείων ἔλαβεν, ἀλλ' ἀπὸ ζήλου καὶ φίλτρου γνησίου. Οὐδὲ γὰρ ἐπειδὴ νεκρὸν ἀνέστησεν[138], οὐδὲ ἐπειδὴ χωλὸν ἀνώρθωσεν[139], οὕτως ἐκλήθη, ἀλλ' ἐπειδὴ πίστιν καὶ ὁμολογίαν ἐπεδείξατο γνησίαν, τὸ ὄνομα τοῦτο ἐκληρονόμησε· « *Σὺ γὰρ εἶ Πέτρος καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν*[140]. » Διὰ τί; Οὐχ ὅτι θαύματα ἐποίησεν, ἀλλ' ὅτι εἶπε· « *Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος*[141]. » Ὁρᾷς ὅτι καὶ αὐτὸ τὸ « Πέτρον » κληθῆναι οὐκ ἀπὸ θαυμάτων, ἀλλ' ἀπὸ ζήλου πεπυρωμένου ἔλαβε τὴν ἀρχήν ;

Ἀλλ' ἐπειδὴ Πέτρου ἐμνήσθημεν, εἰσῆλθέ μοι καὶ ἑτέρου Πέτρου μνήμη τοῦ κοινοῦ πατρὸς καὶ διδασκάλου, ὃς τὴν ἐκείνου διαδεξάμενος ἀρετὴν καὶ καθέδραν ἐκληρονόμησε τὴν ἐκείνου. Ἓν γὰρ καὶ τοῦτο πλεονέκτημα τῆς ἡμετέρας πόλεως τὸ τῶν ἀποστόλων τὸν κορυφαῖον λαβεῖν ἐν ἀρχῇ διδάσκαλον. Ἔδει γὰρ τοὺς πρὸ τῆς οἰκουμένης ἁπάσης τὸ τῶν Χριστιανῶν ἀναδησαμένους ὄνομα[142], τὸν τῶν ἀποστόλων πατέρα τὸν ποιμένα λαβεῖν. Ἀλλὰ λαβόντες αὐτὸν διδάσκαλον, οὐκ εἰς τέλος κατέσχομεν, ἀλλὰ παρεχωρήσαμεν τῇ βασιλίδι Ῥώμῃ· μᾶλλον δὲ εἰς τὸ τέλος αὐτὸν ἐσχήκαμεν· τὸ μὲν γὰρ σῶμα Πέτρου οὐ κατέχομεν,

[137] Lc 10, 20
[138] cf. Ac 9, 40
[139] cf. Ac 3, 6–8
[140] Mt 16, 18
[141] Mt 16, 16
[142] cf. Ac 11, 26

**[Ms. *Va I* $A_1$ $A_2$ $A_3$ *Y (partim) T G H (plane usque ad l. 140, deinde partim) K U*]** 377 φιλοῦσι *Va* $A_2$ $A_3$ *K U* ] φίλοις $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 377 τὸν χριστὸν *Va K U* ] τοῦ Θεοῦ $A_1$ *Y T G Patr.*, τὸν θεὸν $A_2$ $A_3$ || 377 καὶ ἐν – γεγράφθαι ] *om. H Patr.* || 377 οὐρανοῖς $A_1$ $A_2$ $A_3$ *Y T K U* ] τοῖς *praem. Va G* || 377 γεγράφθαι *Va K U* ] ἐγγεγράφθαι $A_1$ $A_2$ $A_3$ Y T G || 379 ἀγαθῶν *Va K U* ] ἁπάντων *add.* $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 379 ἂν *Va* $A_2$ $A_3$ *K U* ] ἐὰν $A_1$ *Y T G Patr.* || 379 ἔχῃς ] ἔχεις *I* || 379 τὴν εἰρημένην *Va I K U* ] διηκριβωμένην $A_1$ *Y T G Patr.*, τὴν διηκριβωμένην $A_2$ $A_3$ || 380 αὐτὸ *Va I* $A_2$ $A_3$ *K U* ] αὐτὸς $A_1$ *Y T G Patr.* || 380 πέτρος ] τὸ *praem. T* || 381 ζήλου καὶ φίλτρου ] φίλτρου καί ζήλου *I* || 381 νεκρὸν *Va I K U* ] νεκροὺς $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 382 οὐδὲ $A_1$ $A_2$ $A_3$ *Y T G K U* ] οὔτε *Va I* || 382 ἀνώρθωσεν ] ἀνόρθωσεν $A_1$, διώρθωσεν *Va I K U* || 382–383 καὶ ὁμολογίαν *Va I K U* ] μετὰ τῆς ὁμολογίας $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 383 γὰρ *Va I* $A_2$ $A_3$ *K U* ] *om.* $A_1$ *Y T G Patr.* || 388 ἐμνήσθημεν *K U* ] ἀνεμνήσθημεν *Va I*, ἐμνήσθην $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 389–390 καθέδραν *Va I K U* ] τὴν *praem.* $A_1$ $A_2$ $A_3$ *Y T G* || 390 πλεονέκτημα ] τὸ *praem. G* || 391 κορυφαῖον ] κορυφαίων $K^{ac}$ (*ead. man.*) || 392 τοὺς *I* $U^{pc}$ (*al. man.*) ] τὸν *Va K* $U^{ac}$, τὴν $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 392 οἰκουμένης ] οἰκουμένη $I^{ac}$ (*corr. cum* ς *s. l. al. man.*) || 392 ἀναδησαμένους *I* $U^{pc}$ ] ἀναδησάμενον *Va K* $U^{ac}$, ἀναδησαμένην $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 393 τὸν ] τὸ $A_1$ || 393 πατέρα *Va I K U* ] πρῶτον $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 393 τὸν *Va* $I^{ac}$ *K U* ] *deleu. I*, *om.* $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 393 λαβεῖν ] ἀναλαβεῖν *T* || 394 κατέσχομεν *Va I* $A_2$ $A_3$ *G K U* ] κατέχομεν $A_1$ *Y T* || 395 τὸ ] *om. Va I* $A_1$ $A_2$ $A_3$ *T G K U* || 395 τέλος αὐτὸν ] αὐτὸν τέλος $U^{pc}$ (α' *et* β' *s.l. adn. al. man.*) || 395 τέλος ] τὸ *praem. Patr.*

τὴν δὲ πίστιν Πέτρου κατέχομεν. Ὥσπερ οὖν τὴν πίστιν Πέτρου κατέχοντες
αὐτὸν κατέχομεν Πέτρον, οὕτω καὶ τὸν ἐκείνου ζηλωτὴν ὁρῶν|τες, αὐτὸν δοκοῦ- col. 87
μεν ὁρᾶν· καὶ γὰρ τὸν Ἰωάννην « Ἠλίαν » ἐκάλεσεν ὁ Χριστός[143], οὐκ ἐπειδὴ
Ἠλίας ἦν Ἰωάννης, ἀλλ' ἐπειδὴ *ἐν πνεύματι καὶ δυνάμει* ἦλθεν *Ἠλίου*[144]. Καθάπερ
οὖν Ἰωάννης, ἐπειδὴ *ἐν πνεύματι καὶ δυνάμει* ἦλθεν *Ἠλίου*, « Ἠλίας » ἐλέγετο,
οὕτω καὶ οὗτος ἐπειδὴ ἐν ὁμολογίᾳ καὶ πίστει Πέτρου παραγέγονεν, εἰκότως ἂν
καὶ τῆς προσηγορίας ἐκείνης ἀξιωθείη. Ἡ γὰρ τῆς πολιτείας συγγένεια καὶ τὴν
κοινωνίαν τῶν ὀνομάτων ποιεῖ.

Εὐξώμεθα τοίνυν κοινῇ πάντες καὶ εἰς τὸ Πέτρου γῆρας αὐτὸν ἐλθεῖν. Καὶ
γὰρ ὁ | ἀπόστολος ἐν γήρᾳ τὸν βίον κατέλυσεν. « *Ὅταν* γάρ, φησί, *γηράσῃς*, col. 88
τότε *ἄλλοι σε ζώσουσι καὶ* ἄξουσιν *ὅπου οὐ θέλεις*[145]. » Αἰτήσωμεν δὲ καὶ τούτῳ
μακρὰν πολιάν· ἐκτεινόμενον γὰρ αὐτοῦ τὸ γῆρας τὴν ἡμετέραν νεότητα τὴν
πνευματικὴν μᾶλλον ἀκμάζειν ποιεῖ· ἣν γένοιτο διαπαντὸς ἐν ἀκμῇ τηρηθῆναι,
εὐχαῖς μὲν ἐκείνου καὶ τούτου τοῦ Πέτρου, χάριτι καὶ φιλανθρωπίᾳ[146] τοῦ Κυρίου
ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, τιμή, κράτος ἅμα τῷ ἁγίῳ καὶ
ζωοποιῷ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[143] cf. Mt 11, 14 ; Mt 17, 10 ; 12–13 ; Mc 9, 11 ; 13
[144] Lc 1, 17
[145] Jn 21, 18
[146] cf. Tt 3, 4

**[Ms. *Va I* $A_1$ $A_2$ $A_3$ *Y (partim) T G H (plane usque ad l. 140, deinde partim) K U*]** 396 *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G* $U^{pc}$ ] κατέχοντες *K* $U^{ac}$ (*corr. al. man.*) || 396 ὥσπερ οὖν (*aut* ὡς πέτρον) – κατέχοντες *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G*] *om. K* $U^{txt}$ || 396 ὥσπερ οὖν *Va I Y G* $U^{mg}$ ] ὡς πέτρον $A_1$ $A_2$ $A_3$ *T Patr.* || 396 πίστιν *Va I G* $U^{mg}$ ] δὲ *praem.* $A_1$ $A_2$ $A_3$ *Y T H Patr.* || 396 κατέχοντες ] κατέχομεν *Va* || 397 κατέχομεν *Va I G K U* ] ἔχομεν $A_1$ $A_2$ $A_3$ *Y T Patr.* || 397 οὕτω $A_1$ $A_2$ $A_3$ *Y T G K* $U^{ac}$ ] οὕτως *Va I* $U^{pc}$ (ς *s. l. add. al. man.* ) || 397–398 δοκῶμεν *Va K U* ] δοκοῦμεν *I* $A_1$ $A_2$ $A_3$ *Y T G U* || 399 ἰωάννης ] ὁ *praem.* $A_1$ *Patr.* || 399–400 καθάπερ – ἠλίου $A_2$ *Y T G K U* ] om. $A_1$ $A_3$ Va I || 400 ἰωάννης ] ὁ *praem. K U Patr.* || 400 ἐλέγετο ] ἐγένετο *I* || 401 οὕτω καὶ ] οὕτως *U* || 402 ἡ ] εἰ $A_1$ || 402 συγγένεια ] συγκατάβασις $A_1$ || 404 τοίνυν κοινῇ *Va K U* ] οὖν κοινῇ *I*, δὲ $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 405 ἀπόστολος ] παῦλος *G* || 405 γήρᾳ ] γείρει $A_1$, γήρει $A_2$ $A_3$ *T G* $K^{ac}$ (*corr. cum* ᾳ *s. l. al. man.*), γηρῇ *U* || 405 φησὶ γηράσῃς *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G*] γηράσῃς φησὶ *K U* || 406 ἄλλοι *Va I K U* ] *om.* $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 406 σε ζώσουσι *Va I K U* ] ζώσουσί σε $A_1$ $A_2$ $A_3$ *Y T G Patr.* || 406 ἄξουσιν *Va I* $A_1$ $A_2$ $A_3$ *Y T G*] οἴσουσιν *K U* || 406 δὲ *Va I* $A_2$ $A_3$ *K U* ] δὴ $A_1$ *Y T G Patr.* || 406 καὶ ] *om. G* || 406 τούτῳ *Va I Y T G K U* ] τοῦτο $A_1$ $A_2$ $A_3$ || 407 πολιάν *Va I Y G K U* ] πολιτείαν $A_1$ $A_2$ $A_3$ *T H Patr.* || 407 ἐκτεινόμενον ] ἐκεῖνο μὲν *I* || 407 ἡμετέραν *Va I* $A_2$ *G K U* ] ὑμετέραν $A_1$ $A_3$ *Y T Patr.* || 409 μὲν ] *om. I* || 409 χάριτι *Va I K* $U^{ac}$ ] δὲ *add.* $A_1$ $A_2$ $A_3$ *Y T G H U* (*al. man.*) *Patr.* || 409 κυρίου ] καὶ σωτέρος *add. Va* || 410 μεθ' οὗ – ἅμα *Va I* $A_2$ *K U* ] ᾧ ἡ δόξα καὶ τὸ κράτος ἅμα $A_1$ $A_3$ *Y T Patr.*, ᾧ ἡ δόξα καὶ τὸ κράτος ἅμα τῷ πατρὶ καὶ *G* || 410 δόξα *Va I* $A_2$ ] ἡ *praem. K U* || 410 τιμὴ κράτος *Va I* ] καὶ προσκήνησις *add.* $A_2$, τιμὴ (καὶ *add. K*) κράτος *post* πνεύματι *transp. K U* || 410 ἅμα *Va I* $A_2$ ] σὺν *K U* || 410–411 καὶ ζωοποιῷ $A_2$ *K U* ] *add.* $A_2$ *K U* || 411 πνεύματι ] αὐτοῦ *add. Y* || 411 εἰς *Va I* $A_2$ *U* ] νῦν καὶ ἀεὶ καὶ *praem.* $A_1$ $A_3$ *Y T G H K Patr.*

# Homélie 3 : *Conspectus siglorum*

## *Traditio directa*

*G* **Genova**, Biblioteca Franzoniana, *Urbani* 13, *saec.* XI
ff. 109–118$^{v}$

*Ha* **Hagion Oros**, Bibliothêkê tou Prôtatou, 2, *saec.* X
ff. 1–2$^{v}$ (*frag.*)

*Y* **Moskva**, Gosudarstvennyj Istoričeskij Musej, *Synod. gr.* 128, *saec.* X
ff. 34–40$^{v}$

$S_2$ **Oxford**, Bodleian Library, *Auctarium* E.3.13, *saec.* XVII
pp. 1–8 (*cod. Sav.*)

*K* **Oxford**, Bodleian Library, *Holkham. gr.* 41, *saec.* X-XI
ff. 44–62$^{v}$

$P_2$ **Paris**, Bibliothèque Nationale de France, *Suppl. gr.* 590, *saec.* XVII
ff. 63–70$^{v}$ (*cod. Sir.*)

$W_4$ **Roma**, Biblioteca Casanatense, 1396, *saec.* XVI
ff. 193–202

*T* **Torino**, Biblioteca Nazionale Universitaria, B. I. 10, *saec.* XI
ff. 70$^{v}$–79$^{v}$

*Va* **Città del Vaticano**, Biblioteca Apostolica Vaticana, *Vaticanus gr.* 560, *saec.* X
ff. 270$^{v}$–280$^{v}$

*V* **Città del Vaticano**, Biblioteca Apostolica Vaticana, *Vaticanus gr.* 1920, *saec.* X
ff. 340$^{v}$–350

## *Editiones*

*Sav.* Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ... τοῦ Χρυσοστόμου τῶν εὑρισκομένων ... Δι’ ἐπιμελείας καὶ ἀναλωμάτων Ἐρρίκου τοῦ Σαβιλίου ..., Etonae 1612, t. VIII, pp. 111–118

*Front.* *Joannis Chrysostomi opera omnia ... cura Frontonis Ducaei*, Parisiis 1621, t. V, pp. 673–687

*Patr.* *Patrologia Graeca* 51, Parisiis 1862, col. 87–98

## *Traditio indirecta*

*t* **Torino**, Biblioteca Nazionale Universitaria, C. V. 23, *saec.* XV,
ff. 76$^{v}$–92, *In illos qui ad ecclesiam non conueniunt* (*ecloga*)

**Tit.** Τοῦ αὐτοῦ. Ὅτι χρήσιμον ἡ τῶν Γραφῶν ἀνάγνωσις, καὶ δουλείᾳ καὶ περιστάσει πραγμάτων ἀχείρωτον ποιεῖ τὸν προσέχοντα, καὶ ὅτι τὸ ὄνομα τῶν «ἀποστόλων» πολλῶν ἐστιν ἀξιωμάτων ὄνομα, καὶ ὅτι τῶν ἔξωθεν ἀρχόντων καὶ αὐτῶν τῶν βασιλευόντων πολλῷ μείζονα κέκτηνται δύναμιν οἱ ἀπόστολοι καὶ ἐξουσίαν· καὶ πρὸς τῷ τέλει πρὸς τοὺς νεοφωτίστους.

**α'.** Ὅταν μὲν εἰς τὴν πτωχείαν τῆς διανοίας ἴδω τῆς ἐμαυτοῦ, ναρκῶ καὶ ἀνα- col. 87
δύομαι πρὸς διάλεξιν τοσούτου δήμου καλούμενος· ὅταν δὲ εἰς τὴν προθυμίαν ἀποβλέψω τὴν ὑμετέραν καὶ τὸ τῆς ἀκροάσεως ἀκόρεστον, θαρρῶ καὶ διανίσταμαι καὶ μετὰ προθυμίας πρὸς τὸ τῆς διδασκαλίας ἀποδύομαι στάδιον. Ἱκανοὶ γὰρ ὑμεῖς καὶ λιθίνην λαβόντες διάνοιαν πτεροῦ παντὸς κουφοτέραν ἐργάσασθαι τῇ περὶ τὴν ἀκρόασιν ἐπιθυμίᾳ τε καὶ σπουδῇ. Καὶ καθάπερ τὰ φωλεύοντα τῶν ζώων ἐν μέσῳ τῷ χειμῶνι πρὸς τὰς πέτρας καταδυόμενα, ἐπειδὰν ἴδῃ τὸ θέρος φανέν, ἀφίησι τὴν κατάδυσιν καὶ μετὰ τῶν λοιπῶν ζώων ἀγελάζεται καὶ κοινῇ μεθ' ἡμῶν σκιρτᾷ· οὕτως καὶ ἡ ψυχὴ ἡ ἡμετέρα ὥσπερ εἴς τινα φωλεὸν τῆς ἀσθενείας τοῦ συνειδότος καταδυομένη, ὅταν ἴδῃ τὸν πόθον τῆς ὑμετέρας ἀγάπης, ἀφίησι τὸν φωλεὸν καὶ μεθ' ὑμῶν ἀγελάζεται καὶ κοινῇ μεθ' ὑμῶν σκιρτᾷ τὰ καλὰ τῶν Γραφῶν σκιρτήματα ἐν τῷ πνευματικῷ καὶ θείῳ λειμῶνι, ἐν τῷ παραδείσῳ τῆς τρυφῆς.

Καὶ γὰρ πνευματικὸς λειμὼν καὶ παράδεισος τρυφῆς[147] ἡ τῶν θείων Γραφῶν ἐστιν ἀνάγνωσις, παράδεισος δὲ τρυφῆς ἐκείνου τοῦ παραδείσου βελτίων. Τοῦτον τὸν παράδεισον οὐκ ἐν τῇ γῇ, ἀλλ' ἐν ταῖς τῶν πιστευόντων ψυχαῖς ἐφύτευσεν ὁ Θεός· τοῦτον τὸν παράδεισον οὐκ *ἐν Ἐδὲμ* οὐδὲ *κατὰ ἀνατολὰς ἔθετο*[148] ἐν ἑνὶ περιγράψας χωρίῳ, ἀλλὰ πανταχοῦ τῆς γῆς ἐξήπλωσε καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης ἐξέτεινε. Καὶ ὅτι πανταχοῦ τῆς οἰκουμένης τὰς Γραφὰς ἥπλωσεν,

[147] cf. Gn 3, 23–24
[148] Gn 2, 8

**[Ms. *Va V Y (partim) Ha (a l. 310,* ἴδωμεν*) T G K* $W_4$ *(partim)* $P_2$ *(partim)* $S_2$ *(partim)*]** 1 **Tit.** τοῦ αὐτοῦ *Va V Y T G* ] *om. K Patr.* || 1 χρήσιμον *Va V Y T G K* ] χρήσιμος $P_2$ $S_2$ *Patr.* || 1 καὶ[1] ] ὅτι *add. s. l.* $S_2$ *et in textu Patr.* || 5 πρὸς[2] ] εἰς *T* || 5 τοὺς *V T G K* ] *om. Va* $P_2$ $S_2$ *Patr.* || 3 **α'.** ἀποβλέψω *Y T G K* ] ἀναβλέψω *Va V* $P_2$ $S_2$ *Patr.* || 4 ἀποδύομαι ] ἀναδύομαι *G* || 8 ἀφίησι ] ἐφίησι $S_2^{ac}$ || 9 καὶ[1] *Y T G K* $S_2^{sl}$ *Patr.* ] *om. Va V* $P_2$ || 9 μεθ' ἡμῶν ] μεθ' ὑμῶν $P_2$ *(sed notauit linea)* $S_2^{txt}$, μετ' αὐτῶν $S_2^{mg}$ *Sav.*$^{mg}$ || 9 σκιρτᾷ ] καὶ *praem. V* || 9 οὕτως ] οὕτω *K Patr.* || 9 καὶ[2] *Va V K* ] *om. Y T G* || 10–11 ὑμετέρας ] ἡμετέρας $P_2$ $S_2^{ac}$ || 11 καὶ *T G K* ] *om. Va V Y* $P_2$ $S_2$ *Patr.* || 13 τρυφῆς *Y T G K* ] γραφῆς *Va V* $P_2$ $S_2$ *Patr.*

**[Trad. indirecta]** 14–15 καὶ[1] – ἀνάγνωσις ] καὶ ἡ τῶν θείων γραφῶν ἀνάγνωσις παράδεισος ἄλλος ἐπὶ γῆς πεφανέρωτ* πνευματικὸς λειμὼν *t, et eis uerbis inc. excerptum primum* || 15 παράδεισος δὲ τρυφῆς ] καὶ τρυφὴ *t* || 17 ἐν – ἔθετο ] *om. t* || 18 περιγράψας χωρίῳ ] τόπῳ περιγράψας *t* || 18 ἐξήπλωσε ] ἐξήπλωσεν *t* || 19 ἐξέτεινε ] ἐκτεταμένον *t, et hic des. excerptum primum*

ἄκουσον τοῦ προφήτου λέγοντος· *Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν*[149]. Κἂν πρὸς Ἰνδοὺς ἀπέλθῃς, οὓς πρώτους ἀνίσχων ὁ ἥλιος ὁρᾷ, κἂν εἰς τὸν ὠκεανὸν ἀπέλθῃς, κἂν πρὸς τὰς Βρεττανικὰς νήσους ἐκείνας, κἂν εἰς τὸν Εὔξεινον πλεύσῃς πόντον, κἂν πρὸς τὰ νότια ἀπέλθῃς μέρη, πάντων ἀκούσῃ πανταχοῦ τὰ ἀπὸ τῆς Γραφῆς φιλοσοφούντων, φωνῇ μὲν ἑτέρᾳ, | πίστει δὲ οὐχ ἑτέρᾳ, καὶ γλώσσῃ μὲν διαφόρῳ, col. 88 διανοίᾳ δὲ συμφώνῳ. Ὁ μὲν γὰρ φθόγγος τῆς γλώττης ἐνήλλακται, ὁ δὲ τρόπος τῆς εὐσεβείας αὐτοῖς οὐκ ἐνήλλακται· καὶ βαρβαρίζουσι μὲν τῇ γλώττῃ, φιλοσοφοῦσι δὲ τῇ γνώμῃ· καὶ σολοικίζουσι μὲν τῷ φθόγγῳ, εὐσεβοῦσι δὲ τῷ τρόπῳ. Εἶδες παραδείσου μῆκος πρὸς τὰ πέρατα τῆς οἰκουμένης ἐκτεταμένου; Ἐνταῦθα οὐκ ἔστιν ὄφις[150]· καθαρὸν γὰρ θηρίων ἐστὶ τὸ χωρίον καὶ τῇ τοῦ Πνεύματος τειχίζεται χάριτι.

Ἔχει καὶ πηγὴν ὁ παράδεισος οὗτος, καθάπερ ἐκεῖνος, πηγὴν μυρίων ποταμῶν μητέρα, οὐχὶ τεσσάρων. Οὐ γὰρ τὸν Τίγρητα, οὐδὲ τὸν Εὐφράτην, οὐδὲ τὸν Αἰγύπτιον Νεῖλον, οὐδὲ τὸν Ἰνδὸν Γάγγην[151], ἀλλὰ μυρίους ἀφίησι ποταμοὺς αὕτη ἡ πηγή. Τίς ταῦτά φησιν; Αὐτὸς ὁ τοὺς ποταμοὺς ἡμῖν χαρισάμενος Θεός· «*Ὁ πιστεύων γὰρ εἰς ἐμέ*, φησί, *καθὼς εἶπεν ἡ Γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος*[152].» Εἶδες πῶς οὐχὶ τέσσαρες ποταμοὶ[153] ἀλλ᾽ ἀδιόριστοι ἀπὸ τῆς πηγῆς ἐκείνης ἐκχέονται; Οὐ τῷ πλήθει δὲ μόνον, ἀλλὰ καὶ τῇ φύσει θαυμαστὴ ἡ πηγή· οὐ γὰρ ὕδατός ἐστι τὰ νάματα, ἀλλὰ Πνεύματος τὰ χαρίσματα. Αὕτη ἡ πηγὴ καθ᾽ ἑκάστην ψυχήν ἐστι τῶν πιστῶν μεριζομένη καὶ οὐ μειουμένη· μεριζομένη καὶ οὐ δαπανωμένη· κατακερματιζομένη καὶ οὐκ ἐλαττουμένη· παρὰ πᾶσιν ὁλόκληρος καὶ ἐν ἑκάστῳ ὁλόκληρος. Τοια-

[149]Ps 19 (18), 5 ; Rm 10, 18 (Ps 19 (18), 5 *cit.*)
[150]cf. Gn 3, 1
[151]cf. Gn 2, 11–14
[152]Jn 7, 38
[153]cf. Gn 2, 10

---

**[Ms. *Va V Y (partim) Ha (a l. 310,* ἴδωμεν*) T G K $W_4$ (partim) $P_2$ (partim) $S_2$ (partim)*]** 23 κἂν *Va V Y K* ] καὶ *T G* || 24 ἀπέλθῃς ] πλεύσῃς *K* || 26 γλώττης *T G K* ] γλώσσης *Va V Y $P_2$ $S_2$ Patr.* || 26 ὁ δὲ ] *T legi nequit* (*falso corr. rec. manus*) || 27 αὐτοῖς *Va V G K $P_2$ $S_2$* ] αὐτοῦ *T* (*rec. manu*), *om. Patr.* || 29 ἐκτεταμένου *Va V $P_2$ $S_2$ Patr.* ] ἐκτεταμένον *Y T G K* || 30 γὰρ *Va V T G K* ] *om. $S_2$ $P_2$ Patr.* || 30 θηρίων *Y T G K* ] τῶν *praem. Va V Patr.* || 32 καθάπερ ἐκεῖνος ] *om. G* || 33 τίγρητα *Va V Y K* ] τίγριδα *T G* || 34 γάγγην *Va V T* ] φησόν *G*, φεισών *K* || 34 ἀφίησι ] ἐφίησι *$S_2$ sed notauit linea* || 35 τίς ] *om. K* || 36 φησί *Va V Y G* ] *post* γὰρ *transp. T K* || 36 καθὼς – γραφή *Va V Y G* ] *om. T K* || 37 ὕδατος ] ἐκ τῆς *praem. et deleu. V* || 38 ἀλλ᾽ ἀδιόριστοι *Va V T K $P_2$ $S_2$* ] ἀλλὰ διόριστοι *G*, ἀλλὰ ἀδιόριστοι *Patr.* || 38 ἐκχέονται *Va V Y T G K $P_2$* ] ἐκχέοντες *$S_2$ Patr.* || 40 τὰ ] *om. T G* || 42–43 τοιαῦτα *Va V Y T G K* ] τοσαῦτα *$P_2$ $S_2$ Patr.*

---

**[Trad. indirecta]** 29 ἐνταῦθα ] *eo uerbo inc. excerptum secundum apud t* || 30 καὶ ] διότι *t* || 30–31 τειχίζεται χάριτι ] χάριτι τειχιζόμενον *t* || 32 καθάπερ ἐκεῖνος πηγὴν ] *om. t* || 32 μυρίων ] οὐχὶ αἰσθητῶν καὶ *praem. t* || 33–36 μητέρα – θεός ] ἀλλὰ νοητῶν ἐν τοῦ σωτήρου ἡμῶν πράγμασι <***> κορεννύντος *t* || 36 καθὼς – γραφή ] *om. t* || 37–39 εἶδες – πηγή ] *om. t* || 40 τὰ ] *om. t* || 41 καὶ ] *om. t* || 41–42 κατακερματιζομένη – παρὰ ] *om. t*

ῦτα γὰρ τοῦ Πνεύματος τὰ χαρίσματα. Βούλει μαθεῖν τὴν δαψίλειαν τῶν ναμάτων τούτων; Βούλει μαθεῖν τὴν φύσιν τῶν ὑδάτων, πῶς οὐκ ἔοικε τούτοις, ἀλλὰ βελτίω τούτων καὶ θαυμασιώτερά ἐστιν; Ἄκουσον πάλιν αὐτοῦ αὐτοῦ τοῦ Χριστοῦ λέγοντος τῇ Σαμαρείτιδι, ἵνα μάθῃς τὴν δαψίλειαν τῆς πηγῆς. «*Τὸ ὕδωρ ὃ ἐγὼ δώσω*, φησί, *τῷ πιστῷ*, *γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον*[154].» Οὐκ εἶπεν «ἐξιόντος», οὐκ εἶπε «προχεομένου», ἀλλὰ «*ἀλλομένου*», διὰ τῶν ἁλμάτων τὴν ἀφθονίαν ἡμῖν ἐμφαίνων. Ἐκεῖνα | τῶν κρηναίων ὑδάτων col. 89
ἐξάλλεσθαι καὶ πηδᾶν πανταχόθεν εἴωθεν, ἅπερ ἂν αἱ πηγαὶ ἐν τοῖς κόλποις μὴ δύν<ω>νται κατέχειν[155], ἀλλὰ νικώμεναι τῇ συνεχείᾳ τῆς ἐπιρροῆς πανταχόθεν αὐτὰ ἀναβλύζωσι. Βουλόμενος οὖν τὴν δαψίλειαν τῶν ναμάτων δεῖξαι εἶπεν «*ἀλλομένου*», οὐκ «ἐξιόντος». Βούλει καὶ τὴν φύσιν αὐτῆς καταμαθεῖν;

Μάνθανε ἀπὸ τῆς χρείας. Οὐ γὰρ εἰς ζωὴν τὴν παροῦσαν, ἀλλ' εἰς ζωὴν αἰώνιόν ἐστι χρησίμη. Διατρίψωμεν τοίνυν ἐν τῷ παραδείσῳ τούτῳ, παρακαθεζώμεθα τῇ πηγῇ, μὴ πάθωμεν ὅπερ ἔπαθεν ὁ Ἀδὰμ καὶ ἐκπέσωμεν τοῦ παραδείσου[156]· μὴ δεξώμεθα συμβουλὴν ὀλεθρίαν, μὴ παραδεξώμεθα τὴν ἀπάτην τοῦ διαβόλου[157]· μένωμεν ἔνδον· πολλὴ γὰρ ἡ ἐντεῦθεν ἀσφάλεια· μένωμεν ἐν τῇ ἀναγνώσει τῶν Γραφῶν τούτων. Καθάπερ γὰρ οἱ πηγῇ παρακαθήμενοι, καὶ τῆς αὔρας ἐκείνης ἀπολαύοντες καὶ καύσωνος ἐπικειμένου τὴν ὄψιν συνεχῶς ἐπικλύζοντες ἀποκρούονται τὸ πνῖγος τοῖς νάμασι καὶ δίψους διενοχλοῦντος ῥᾳδίως ἰῶνται τὸ πάθος ἐγγύθεν τὸ φάρμακον ἀπὸ τῆς πηγῆς ἔχοντες· οὕτως ὁ παρὰ τὴν πηγὴν τῶν θείων Γραφῶν παρακαθήμενος, κἂν ἐπιθυμίας ἀτόπου φλόγα διενοχλοῦσαν ἴδῃ, ῥᾳδίως ἀπὸ τῶν ναμάτων ἐκείνων τὴν ψυχὴν ἀποκλύσας ἀπεκρούσατο τὴν φλόγα· κἂν ὀργὴ διακαὴς ἐνοχλῇ τὴν καρδίαν κα-

[154] Jn 4, 14
[155] cf. Jn 7, 38
[156] cf. Gn 3, 24
[157] cf. Gn 3, 13

**[Ms. *Va V Y (partim) Ha (a l. 310,* ἴδωμεν*) T G K $W_4$ (partim) $P_2$ (partim) $S_2$ (partim)*]** 43–44 βούλει – τούτων *Va V T G K Patr.* ] *om. $S_2$ $P_2$* || 44 τὴν φύσιν τῶν ὑδάτων *Y T G K* ] τῶν ὑδάτων τὴν φύσιν *Va V $P_2$ $S_2$ Patr.* || 45 πάλιν αὐτοῦ ] αὐτοῦ πάλιν *G* || 48 ἀλλὰ ἀλλομένου *Va Y T K $P_2$ $S_2$ Patr.* ] ἀλλ' ἀλομένου *V*, ἀλλ' ἀλλομένου *G* || 50 ἂν ] *om. K* || 51 δύν<ω>νται *conieci* ] δύνανται *Va V T G K Patr.* || 51 κατέχειν ] *om. K* || 52 ἀναβλύζωσι *Va Y T $P_2$ $S_2^{ac}$* ] ἀναβλύζουσι *V G K $S_2^{pc}$ Patr.* || 53 ἀλλομένου ] ἀλλόμενοι *Va* || 55 αἰώνιόν ] τὴν *praem. T* || 57 συμβουλὴν ] συμβου*ὴν *Va* || 59 πηγῇ ] τῇ *praem. K* || 60–61 ἐπικλύζοντες ] ἐπικλύσαντες *V* || 63 τὴν πηγὴν ] τῇ πηγῇ *G* || 64 φλόγα ] φλόγαν *Va* || 64–65 ἀποκλύσας *Y T G K Patr.* ] ἀποκλύσασα *Va V $P_2$ $S_2^{txt}$* (*sed corr. $S_2^{mg}$*) || 65 διακαὴς ] δι' ἀκοῆς *K*

**[Trad. indirecta]** 43–45 βούλει – ἐστιν ] *om. t* || 45–46 πάλιν – σαμαρείτιδι ] *om. t* || 46 ἵνα – πηγῆς ] *ante* ἄκουσον *transp. t* || 47 ἀλλομένου ] ἀλομένου *t, et uerbo* αἰώνιον *des. excerptum secundum* || 55 διατρίψωμεν ] *eo uerbo inc. excerptum tertium apud t* || 55–56 παρακαθεζώμεθα ] παρακαθεζόμεθα *t* || 56 πηγῇ ] αἰωνίῳ *praem. t* || 57 δεξώμεθα ] δεξόμεθα *t* || 57 ὀλεθρίαν ] ἀλοτρίων *ut uid. t* || 57 παραδεξώμεθα ] παραδεξόμεθα *t* || 59 γραφῶν ] θείων *praem. t*, παρακαθήμενος κορεννύμενος τῶν θείων λογίων *add. t, et hic des. excerptum tertium* || 59 τούτων – πηγῇ ] *t legi nequit*

θάπερ λέβητα ὑποκαιόμενον ἀναβράσσουσα, μικρὸν τοῦ νάματος ἐπιστάξας εὐθέως κατέστειλε τοῦ πάθους τὴν ἀναισχυντίαν. Καὶ ἐκ πάντων τῶν πονηρῶν λογισμῶν ὥσπερ ἐκ μέσης φλογός ἐξαρπάζει τὴν ψυχὴν ἡ τῶν θείων Γραφῶν ἀνάγνωσις.

**β'.** Διὸ καὶ ὁ προφήτης ὁ μέγας Δαυῒδ ἐκεῖνος, εἰδὼς τὴν ὠφέλειαν τὴν ἀπὸ τῆς ἀναγνώσεως τῶν Γραφῶν, τὸν διηνεκῶς προσέχοντα ταῖς Γραφαῖς καὶ τῆς ὁμιλίας ταύτης ἀπολαύοντα παρεικάζει φυτῷ ἀεὶ τεθηλότι καὶ παρὰ τοὺς ῥύακας ἑστηκότι τῶν ὑδάτων, οὑτωσὶ λέγων· «*Μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν, ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτὸς καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων*[158].» Καθάπερ γὰρ *τὸ ξύλον* ἐκεῖνο *τὸ παρὰ τὰς διεξόδους τῶν ὑδάτων πεφυτευμένον*, παρ' αὐτοὺς τοὺς ῥύακας ἑστηκός, διηνεκῆ τῆς ἀρδείας ἔχον τὴν χορηγίαν, πάσῃ ἀέρων ἀνωμαλίᾳ ἀχείρωτον γίνεται καὶ οὔτε ἀκτῖνα θερμοτέραν γενομένην δέδοικεν, οὔτε τὸν ἀέρα μεταπεσόντα εἰς αὐχμὸν εὐλαβεῖται· ἱκανὴν γὰρ ἔχον ἐναποκεκλεισμένην ἐν ἑαυτῷ τὴν νοτίδα, πάσης ἡλιακῆς θέρμης πλεονεξίαν ἔξωθεν προσβαλοῦσαν εὐθέως ἀποκρούεται καὶ διωθεῖται· οὕτω καὶ ψυχὴ παρὰ τοὺς ῥύακας ἑστηκυῖα τῶν θείων Γραφῶν, καὶ ποτιζομένη διηνεκῶς, ἐκεῖνα τὰ νάματα καὶ τὴν δρόσον τοῦ Πνεύματος ἐν ἑαυτῇ συνάγουσα, πρὸς πᾶσαν πραγμάτων περίστασιν ἀχείρωτος ἔσται, κἂν νόσος, κἂν ἐπήρεια, κἂν συκοφαντία, κἂν λοιδορίαι, κἂν σκώμματα, κἂν πᾶσα ῥᾳθυμία, κἂν πάντα τὰ τῆς οἰκουμένης κακὰ εἰς τὴν τοιαύτην κατασκήψῃ ψυχήν, εὐκόλως ἀποκρούεται τὴν πύρωσιν τῶν παθῶν ἀπὸ τῆς τῶν Γραφῶν ἀναγνώσεως ἱκανὴν παράκλησιν ἔχουσα. Οὔτε γὰρ δόξης μέγεθος, οὐ δυναστείας ὄγκος, οὐ φίλων παρουσία, οὐκ

[158] Ps 1, 1–3

**[Ms. *Va V Y (partim) Ha (a l. 310,* ἴδωμεν*) T G K $W_4$ (partim) $P_2$ (partim) $S_2$ (partim)*]** 66 ἀναβράσσουσα *Va V Y $S_2$ $P_2$ Patr.* ] ἀναβράζουσα *T G K* || 67 καὶ ] ἀλλὰ *praem. G* || 68 ἐξαρπάζει ] ἐξαρπάζῃ *G* || 69 ἀνάγνωσις ] ἀ *iter. T* || 71 γραφῶν ] θείων *praem. K* || 71 καὶ ] *om. Va* || 72 καὶ *T G K* ] *om. Va V Patr.* || 75 ἢ ] *om. V K Patr.* || 78 ἑστηκός ] ἑστηκώς *$Va^{ac}$* || 78 τῆς ] τὰς *Va, deleu. K* || 78 ἀρδείας ] ἀνδρείας *$G^{ac}$* || 78 ἔχον ] ἔχων *P G* || 80 αὐχμὸν ] αὐχμηρὸν *V* || 81 ἐναποκεκλεισμένην ] ἀποκεκλεισμένην *$G^{ac}$* (εν *s.l. add. ead. man.*) || 81 ἑαυτῷ ] αὐτῷ *$Va^{ac}$* (ε *s. l. add. ead. man.*) || 82 προσβαλοῦσαν *Va V K Patr.* ] προσβάλλουσαν *T G* || 83 ψυχὴ ] ἡ *praem. T G* || 86 λοιδορίαι ] λοιδορία *K* || 87 ἀποκρούεται ] ἀποκρούσεται *K* || 88 πύρωσιν ] πήρωσιν *Va*, πείρωσιν *G* || 89 μέγεθος ] μέτοχος *G*

**[Trad. indirecta]** 67 ἐκ ] τὴν φλόγα τῶν παθῶν <***> *praem. t, et eis uerbis inc. excerptum quartum* || 68 φλογός ] τῆς *praem. t* || 68–69 ἡ – ἀνάγνωσις ] *om. t* || 70 ὁ μέγας ] *om. t* || 70–71 ἐκεῖνος – γραφῶν ] *om. t* || 71–72 καὶ – ἀπολαύοντα ] *om. t* || 73 ὑδάτων ] καὶ τὸν καρπὸν αὐτοῦ ποιεῖ ἕως καιρὸν καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπόλυσιν *add. t, et hic des. excerptum quartum* || 82 οὕτω ] *eo uerbo inc. excerptum quintum t* || 83 ψυχὴ ] ἡ *praem. t* || 85 περίστασιν ] ἐπιχείρησιν καὶ *praem. t* || 86 σκώμματα κἂν πᾶσα ] *om. t* || 87 κατασκήψῃ ] ἐπισκήψῃ *t* || 88 παθῶν ] *t legi nequit* || 88 παράκλησιν ] *t legi nequit* || 89 ἔχουσα ] *hic des. excerptum quintum*

ἄλλο οὐδὲν τῶν ἀνθρωπίνων οὕτως τὸν ἐν ὀδύνῃ παραμυθήσασθαι δυνήσεται ὡς ἡ τῶν Γραφῶν ἀνάγνωσις. Τί δήποτε; Ὅτι | ἐκεῖνα μὲν ἐπίκηρα καὶ φθαρτά, col. 90 διὸ καὶ φθαρτὴ αὐτῶν ἡ παράκλησις· ἡ δὲ τῶν Γραφῶν ἀνάγνωσις Θεοῦ ὁμιλία ἐστίν. Ὅταν οὖν ὁ Θεὸς τὸν ἐν ἀθυμίᾳ παρακαλῇ, τί τῶν ὄντων αὐτὸν εἰς ἀθυμίαν ἐμβαλεῖν δύναται;

Προσέχωμεν τοίνυν τῇ ἀναγνώσει, μὴ τὰς δύο μόνον ταύτας ὥρας· οὐ γὰρ ἀρκεῖ ἡμῖν εἰς ὠφέλειαν ἡ ψιλὴ αὕτη ἀκρόασις· ἀλλὰ διηνεκῶς· καὶ ἕκαστος οἴκαδε ἀναχωρήσας τὰ Βιβλία μετὰ χεῖρας λαμβανέτω καὶ τῶν εἰρημένων ἐπερχέσθω τὰ νοήματα, εἴ γε διηνεκῆ καὶ ἀρκοῦσαν ἔχειν τὴν ἀπὸ τῆς Γραφῆς ὠφέλειαν. Καὶ γὰρ τὸ ξύλον ἐκεῖνο τὸ παρὰ τοὺς ῥύακας ἑστηκὸς οὐ δύο καὶ τρεῖς ὥρας ὁμιλεῖ τοῖς ὕδασι μόνον, ἀλλὰ πᾶσαν μὲν ἡμέραν, πᾶσαν δὲ νύκτα. Διὰ τοῦτο κομᾷ τοῖς φύλλοις, διὰ τοῦτο βρίθει τῷ καρπῷ ἐκεῖνο τὸ ξύλον, κἂν μηδεὶς αὐτὸ ἀνθρώπων ποτίζῃ· ἐπειδὴ παρὰ τοὺς ῥύακας ἕστηκεν αὐτό, διὰ τῶν ῥιζῶν ἐπισπᾶται τὴν νοτίδα, καὶ ὥσπερ διά τινων πόρων παραπέμπει τὴν ὠφέλειαν παντὶ τῷ σώματι· οὕτω καὶ ὁ συνεχῶς ἀναγινώσκων τὰς θείας Γραφάς, καὶ παρὰ τοὺς ῥύακας αὐτῶν ἑστηκώς, κἂν μηδένα ἔχῃ τὸν ἑρμηνεύοντα, διὰ τῆς συνεχοῦς ἀναγνώσεως, ὥσπερ διά τινων ῥιζῶν, πολλὴν ἐπισπᾶται τὴν ὠφέλειαν.

Διὰ τοῦτο καὶ ἡμεῖς τὰς φροντίδας ὑμῶν εἰδότες, τοὺς περισπασμοὺς τοὺς βιωτικούς, τὰς ἀσχολίας τὰς πολλάς, ἠρέμα καὶ καταμικρὸν ὑμᾶς προσάγομεν τοῖς νοήμασι τῶν Γραφῶν τῷ σχολαίῳ τῆς ἐξηγήσεως μόνιμον ποιοῦντες τῶν λεγομένων τὴν μνήμην. Καὶ γὰρ ὄμβρος ῥαγδαῖος μὲν καταρρηγνύμενος κατακλύζει τὴν ἐπιφάνειαν καὶ τὸ βάθος οὐδὲν ὠφελεῖ· ἠρέμα δὲ καὶ καταμικρὸν ἐλαίου δίκην ἐνιζάνων τῷ προσώπῳ τῆς γῆς, ὥσπερ διά τινων φλεβῶν τῶν πόρων αὐτῆς πρὸς τὸ βάθος διολισθαίνων, τὰς λαγόνας αὐτῆς ἐμπλήσας νοτίδος εὐπορωτάτην ποιεῖ πρὸς τὴν τῶν καρπῶν φοράν. Διὸ καὶ ἡμεῖς τὸν πνευματικὸν τοῦτον ὄμβρον ἠρέμα ταῖς ὑμετέραις ἐνίεμεν ψυχαῖς· αἱ μὲν γὰρ Γραφαὶ νεφέλαις ἐοίκασι πνευματικαῖς, τὰ δὲ ῥήματα καὶ τὰ νοήματα ὄμβρῳ προσέοικε πολλῷ τούτου βελτίονι· καὶ διὰ τοῦτο τὸν πνευματικὸν τοῦτον ὄμβρον καταμικρὸν ὑμῖν ἐνίεμεν, ἵνα πρὸς αὐτὸ τὸ βάθος χωρήσῃ τὰ ῥήματα.

Διὰ τοῦτο τετάρτην σήμερον ἡμέραν ἔχοντες ἐξηγήσεως, οὐδέπω μίαν ἐπι-

---

**[Ms. *Va V Y (partim) Ha (a l. 310,* ἴδωμεν*) T G K W$_4$ (partim) P$_2$ (partim) S$_2$ (partim)*]** 90 οὕτως *Va V T G K* ] οὕτω *Patr.* || 91 γραφῶν *T G K* ] θείων *praem. Va V Patr.* || 93 αὐτὸν ] *post* ἀθυμίαν *transp. G* || 95 προσέχωμεν ] προσέχομεν *K*$^{ac}$ || 96 ὠφέλειαν *Va V T G K* ] ἀσφάλειαν *Patr.* || 97–98 ἐπερχέσθω τὰ νοήματα ] τὰ νοήματα ἐπερχέσθω *K* || 98 μέλλει *Va T G* ] μέλλῃ *V Patr.*, μέλλοι *K* || 100 μόνον ] *om. Patr.* || 102 αὐτὸ ] αὐτῷ *G* || 102 αὐτὸ *Va V Patr.* ] ἑαυτῷ *T K*, ἑαυτὸ *G* || 104 οὕτω ] οὕτως *Va* || 105 καὶ ] *om. G* || 108–109 τοὺς βιωτικούς *Y T G K* ] *om. Va V Patr.* || 110 τῷ ] τὸ *T* || 111 ῥαγδαῖος *V G K Patr.* ] ῥαγδαίως *Va T* || 111 καταρρηγνύμενος ] καταφερόμενος *V* || 112–113 καταμικρὸν ] καὶ *add. T* || 114 πόρων ] ἀπόρων *Va* || 114 τὰς *Va V K Patr.* ] τοὺς *T G* || 117 τὰ *Y T G K* ] *om. Va V Patr.* || 118 τούτου *V G K Patr.* ] τούτῳ *Va*, τούτων *T*

γραφὴν ἐπελθεῖν ἠδυνήθημεν, ἀλλ’ ἔτι περὶ αὐτὴν στρεφόμεθα. Βέλτιον γὰρ μικρὸν διασκάπτοντας χωρίον καὶ πρὸς τὸ βάθος καταβαίνοντας πολὺν τῶν ἀναγκαίων εὑρίσκειν τὸν θησαυρὸν, ἢ πολλὰς ἀρούρας ἐπιόντας ἄνωθεν, ἁπλῶς καὶ εἰκῆ ταλαιπωρεῖσθαι καὶ μάτην. Καίτοι οἶδα πολλοὺς πρὸς τὴν βραδύτητα ταύτην δυσχεραίνοντας· ἀλλ’ οὐ μέλει μοι τῆς ἐκείνων κατηγορίας, ἀλλὰ μέλει μοι τῆς ὑμετέρας ὠφελείας. Οἱ ὀξύτερον βαδίζειν δυνάμενοι τοὺς βραδυτέρους τῶν ἀδελφῶν ἀναμενέτωσαν· οὗτοι μὲν γὰρ ἐκείνους ἀναμεῖναι δύνανται, οἱ δὲ ἀσθενέστεροι πρὸς ἐκείνους ἑαυτοὺς παρεκτεῖναι οὐκ ἰσχύουσι. Διὰ τοῦτο καὶ ὁ Παῦλός φησιν ὅτι οὐκ ὀφείλομεν τοὺς ἀσθενεῖς ἀναγκάζειν πρὸ καιροῦ, πρὸς τὴν τελειότητα τῶν δυνατῶν ἐκτείνεσθαι μὴ δυναμένους[159]· ἀλλ’ ὅτι *ἡμεῖς ὀφείλομεν οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν*[160]. Ὠφελείας ἡμῖν μέλει τῆς ὑμετέρας, οὐκ ἐπιδείξεως ἁπλῶς· διὰ τοῦτο ἐνδιατρίβομεν τοῖς νοήμασι.

**γ’**. Τῇ μὲν οὖν πρώτῃ ἡμέρᾳ ὅτι οὐχ ἁπλῶς παρατρέχειν χρὴ τὰς ἐπιγραφὰς ἔλεγον, ὅτε καὶ τὸ ἐπίγραμμα | ὑμῖν ἀνέγνων τοῦ βωμοῦ, καὶ τὴν σοφίαν col. 91 ἐπέδειξα Παύλου τὸν ἀλλότριον στρατιώτην καὶ ἐν τῇ παρατάξει τῶν ἐχθρῶν ἑστηκότα πρὸς τὴν οἰκείαν φάλαγγα μεταστήσαντος. Εἰς τοῦτο ἐν τῇ πρώτῃ ἡμέρᾳ κατέληξεν ἡ διδασκαλία πᾶσα· μετ’ ἐκείνην ἐν τῇ δευτέρᾳ ἡμέρᾳ ἐζητήσαμεν τίς ἦν ὁ τὸ βιβλίον γράψας· καὶ εὕρομεν τῇ τοῦ Θεοῦ χάριτι Λουκᾶν τὸν εὐαγγελιστὴν, καὶ διὰ πλειόνων ἀποδείξεων ὑμῖν παρεστήσαμεν τὸ ζητούμενον, τῶν μὲν σαφεστέρων, τῶν δὲ βαθυτέρων. Οἶδα γὰρ ὅτι τοῖς ἐσχάτοις τῶν εἰρημένων πολλοὶ τῶν ἀκουσάντων οὐ παρηκολούθησαν· ἀλλ’ ὅμως οὐ διὰ τοῦτο ἀποστησόμεθα τοῦ κατατολμᾶν λεπτοτέρων νοημάτων. Τὰ μὲν οὖν σαφέστερα τοῖς ἀφελεστέροις, τὰ δὲ βαθύτερα τοῖς ὀξύτερον συνορῶσιν ἔσται χρήσιμα. Ποικίλην γὰρ εἶναι δεῖ τὴν τράπεζαν καὶ διάφορον, ἐπειδὴ καὶ διάφορος ἡ τῶν κεκλημένων ἐπιθυμία. Τῇ μὲν οὖν πρώτῃ ἡμέρᾳ περὶ ἐπιγραφῆς, τῇ δὲ δευτέρᾳ ἡμέρᾳ περὶ τοῦ γράψαντος τὸ βιβλίον, τῇ τρίτῃ ἡμέρᾳ χθὲς πρὸς τοὺς παραγενομένους περὶ τῆς ἀρχῆς τῆς γραφῆς διελέχθημεν, καὶ ἐδείξαμεν, καθάπερ ἴσασιν οἱ ἀκηκοότες, τί μέν ἐστι πρᾶξις, τί δέ ἐστι θαῦμα, καὶ τί μέν ἐστι πολιτεία, τί δέ ἐστι σημεῖον, καὶ τέρας, καὶ δύναμις, καὶ πόσον τὸ μέσον ἑκατέρων· καὶ πῶς τὸ μὲν μεῖζον, τὸ δὲ χρησιμώτερον, καὶ πῶς τὸ μὲν καθ’ ἑαυτὸ ὂν βασιλείαν προ-

[159]cf. 1 Co 8, 9
[160]Rm 15, 1

**[Ms. *Va V Y (partim) Ha (a l. 310,* ἴδωμεν*) T G K* $W_4$ *(partim)* $P_2$ *(partim)* $S_2$ *(partim)*]** 121 ἐπελθεῖν *T G K* ] παρελθεῖν *Va V Patr.* || 121–122 μικρὸν ] μικρῷ *G* || 122 χωρίον ] χωρίῳ *G* || 125 μέλει ] μέλλει *T* || 125 κατηγορίας ] κακηγορίας *T* || 125 μέλει ] μέλλει *T* || 130 ἐκτείνεσθαι ] ἐπεκτείνεσθαι *K* || 132 μέλει *G K Patr.* ] μέλλει *Va V T* || 134 χρὴ ] δεῖ *T* || 136 καὶ ] *om. K* || 138 διδασκαλία ] ἡμῶν *add. K* || 139 εὕρομεν ] ηὕραμεν $T^{txt}$, γρ<άφεται> εὕρομεν $T^{mg}$ *(al. man.)* || 140 παρεστήσαμεν ] ὑμῖν *add. V* || 140 τὸ ] τὸν *G* || 144 ἀφελεστέροις ] ἀσφαλεστέροις *G* || 144 συνορῶσιν *T G K* ] ἐνορῶσιν *Va V Patr.* || 145 καὶ ] *om. V* || 146 ἐπιγραφῆς *Va V T Patr.* ] τῆς *praem. G K* || 148 γραφῆς ] ἐπὶ τῆς *praem. G* || 149 ἐστι ] *om. K* || 150 τὸ μέσον ἑκατέρων ] ἑκατέρων τὸ μέσον *K* || 151 τὸ μὲν ] *V legi nequit* || 151 ἑαυτὸ *Va V G K* ] ἑαυτὸν *Patr.* || 151 βασιλείαν ] βα**λείαν *V*

ξενεῖ, τὸ δὲ ἐὰν μὴ λάβῃ τὴν ἀπὸ τῆς πράξεως συμμαχίαν, ἔξω τῶν προθύρων ἐκείνων ἐκβάλλεται. Σήμερον ἀναγκαῖον εἰπεῖν τὸ ἐπίλοιπον τῆς γραφῆς καὶ δεῖξαι τί ποτέ ἐστι τὸ ὄνομα τῶν «ἀποστόλων».

Οὐδὲ γὰρ ψιλόν ἐστι τὸ ὄνομα τοῦτο, ἀλλ' ἀρχῆς ἐστι προσηγορία, ἀρχῆς μεγίστης, ἀρχῆς τῆς πνευματικωτάτης, ἀρχῆς τῆς ἄνω. Ἀλλὰ διανάστητε. Καθάπερ γὰρ ἐν τοῖς βιωτικοῖς πράγμασίν εἰσιν ἀρχαὶ πολλαί, οὐ πᾶσαι δὲ τῆς αὐτῆς ἀξίας, ἀλλ' αἱ μὲν μείζους, αἱ δὲ ἐλάττους· οἷον, ἵνα ἀπὸ τῆς κατωτέρας τὸν ἀριθμὸν ποιησώμεθα, ἔστιν ὁ τῆς πόλεως ἔκδικος· ἔστιν ἀνώτερος ἐκείνου ὁ τοῦ ἔθνους ἡγεμών· ἔστι μετ' ἐκεῖνον ἕτερος ἄρχων μείζων· ἔστι πάλιν ὁ στρατηλάτης· ἔστιν ὁ ὕπαρχος· ἔστιν ἀνωτέρα τούτων ἀρχή, ἡ τῶν ὑπάτων ἀρχή· καὶ πᾶσαι μὲν αὗται ἀρχαί, οὐ πᾶσαι δὲ τῆς αὐτῆς ἀξίας· οὕτω καὶ ἐπὶ τῶν πνευματικῶν πολλαὶ μὲν ἀρχαί, οὐ πᾶσαι δὲ τῆς αὐτῆς ἀξίας· πασῶν δὲ μείζων ἡ τῆς ἀποστολῆς ἀξία.

Καὶ γὰρ ἀπὸ τῶν αἰσθητῶν ὑμᾶς ἐπὶ τὰ νοητὰ χειραγωγεῖν δεῖ. Οὕτω καὶ ὁ Χριστὸς ἐποίησε· περὶ Πνεύματος διαλεγόμενος ὕδατος ἐμνημόνευσεν· «*Ὁ γὰρ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν*, φησίν· *ὁ δὲ πίνων ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα*[161].» Ὁρᾷς αὐτὸν ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητὰ χειραγωγοῦντα τὸ γύναιον; Οὕτω καὶ ἡμεῖς ποιῶμεν, καὶ κάτωθεν ἀναβαίνωμεν ἄνω, ὥστε εὐσημότερον γενέσθαι τὸν λόγον. Διὰ τοῦτο περὶ ἀρχῆς διαλεγόμενοι, πνευματικῆς, ἐμνήσθημεν ἀρχῆς αἰσθητῆς, ἵνα ἀπὸ ταύτης πρὸς ἐκείνην ὑμᾶς χειραγωγήσωμεν. Ἠκούσατε πόσας ἠριθμήσαμεν ἀρχὰς βιωτικάς, καὶ πῶς αἱ μὲν μείζους, αἱ δὲ ἐλάττους, καὶ πῶς ἡ τῶν ὑπάτων ἀρχὴ καθάπερ κορυφὴ καὶ κεφαλὴ πᾶσιν ἐπίκειται; Ἴδωμεν καὶ τὰς ἀρχὰς τὰς πνευματικάς. Ἔστιν ἀρχὴ πνευματικὴ προφητείας ἀρχή· ἔστιν ἑτέρα ἀρχὴ εὐαγγελισμοῦ, ἔστι ποιμένος, ἔστι διδασκάλου, ἔστι χαρισμάτων, ἔστιν ἰαμάτων, ἔστιν ἑρμηνείας γλωσ|σῶν[162]. Ταῦτα πάντα ὀνόματα μέν ἐστι χαρισμάτων, πράγματα δὲ ἀρχῶν col. 92
καὶ ἐξουσιῶν. Ὁ προφήτης ἄρχων ἐστί· παρ' ἡμῖν ὁ δαίμονας ἐξελαύνων ἄρχων ἐστί· παρ' ἡμῖν ὁ ποιμὴν καὶ διδάσκαλος ἄρχων ἐστὶ πνευματικός· ἀλλὰ τούτων ἁπάντων μείζων ἐστὶν ἀρχὴ ἡ ἀποστολική.

[161] Jn 4, 13–14
[162] cf. 1 Co 12, 9–10

**[Ms. *Va V Y (partim) Ha (a l. 310,* ἴδωμεν*) T G K $W_4$ (partim) $P_2$ (partim) $S_2$ (partim)*]** 152 τῶν προθύρων ] πρὸ τῶν θυρῶν *K* || 153 ἐκείνων ] *om. K* || 153 γραφῆς *Va V T* ] ἐπιγραφῆς *G K Patr.* || 155 τὸ ὄνομα τοῦτο ] τοῦτο τὸ ὄνομα *V* || 155 ἀρχῆς ] ἀπαρχῆς *Va*, ἀπ' ἀρχῆς *$P_2$ $S_2$ Sav.* || 160 μετ' ἐκεῖνον ἕτερος ] ἕτερος ἐκείνου *K* || 160 πάλιν ] μετ' ἐκεῖνον *K* || 161 ἀρχή ] *om. K* || 162 ἀξίας ] *add. et deleu. tria uerba Va* || 162 ἐπὶ ] *om. Patr.* || 165 χειραγωγεῖν δεῖ ] χειραγωγεῖ *K* || 167 διψήσει *Va G K Patr.* ] διψήσῃ *V T* || 167 φησίν ] *post* πίνων *transp. K* || 168 διψήσει ] διψήσῃ *K* || 168 αὐτὸν ] *om. Patr.* || 169 ποιῶμεν *Va V T K* ] ποιοῦμεν *G Patr.* || 170 ἀναβαίνωμεν *V K* ] ἀναβαίνομεν *Va T G Patr.* || 171 πνευματικῆς ] οὐ *s. l. add. $W_4$*, οὐ *praem. $P_2$ $S_2$ Sav. Front. Patr.* || 171 αἰσθητῆς ] ἀλλ' *coni. $W_4^{mg}$*, ἀλλ' *praem. $P_2$ $S_2$ Sav. Front. Patr.* || 171 πρὸς ] εἰς *G* || 174 ἴδωμεν ] οὖν *add. K* || 175 ἑτέρα ἀρχὴ ] ἑτέραν ἀρχὴν $K^{ac}$ (*corr. ead. man.*) || 175 εὐαγγελισμοῦ *Va V K Patr.* ] ἀρχὴ *add. Y T G*

Καὶ πόθεν τοῦτο δῆλον; Ὅτι πρὸ πάντων ὁ ἀπόστολος τούτων ἐστί. Καὶ καθάπερ ὁ ὕπατος ἐν ταῖς αἰσθηταῖς ἀρχαῖς, οὕτως ὁ ἀπόστολος ἐν τοῖς πνευματικοῖς τὴν προεδρείαν ἔχει. Αὐτοῦ τοῦ Παύλου ἀκούσωμεν ἀριθμοῦντος τὰς ἀρχὰς καὶ ἐν τῷ ὑψηλοτέρῳ χωρίῳ τὴν ἀποστολὴν καθίζοντος. Τί οὖν οὗτός φησιν; «*Οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους* καὶ ποιμένας· *εἶτα χαρίσματα ἰαμάτων*[163].» Εἶδες κορυφὴν ἀρχῶν; Εἶδες ὑψηλὸν καθήμενον τὸν ἀπόστολον καὶ οὐδένα πρὸ ἐκείνου ὄντα οὐδὲ ἀνώτερον; «*Πρῶτον* γὰρ *ἀποστόλους*, φησί, *δεύτερον προφήτας, τρίτον* ποιμένας καὶ *διδασκάλους· εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν*[164].» Οὐκ ἀρχὴ δὲ μόνον ἐστὶν ἡ ἀποστολὴ τῶν ἄλλων ἀρχῶν, ἀλλὰ καὶ ὑπόθεσις καὶ ῥίζα. Καὶ καθάπερ ἡ κεφαλὴ ἐν τῷ ὑψηλοτέρῳ τοῦ παντὸς σώματος καθημένη, οὐ μόνον ἀρχὴ τοῦ σώματός ἐστι καὶ ἐξουσία, ἀλλὰ καὶ ῥίζα· τὰ γὰρ νεῦρα τὰ διοικοῦντα τὸ σῶμα ἐξ ἐκείνης τικτόμενα καὶ ἐξ αὐτοῦ βλαστάνοντα τοῦ ἐγκεφάλου καὶ τὴν τοῦ πνεύματος δεχόμενα χορηγίαν οὕτως ἅπαν οἰκονομεῖ τὸ ζῶον· οὕτω καὶ ἡ ἀποστολὴ οὐ μόνον ὡς ἀρχὴ καὶ ἐξουσία τοῖς λοιποῖς ἐπίκειται χαρίσμασιν, ἀλλὰ καὶ τὰς ἁπάντων ῥίζας ἐν ἑαυτῇ συλλαβοῦσα κατέχει. Καὶ ὁ μὲν προφήτης οὐ δύναται εἶναι καὶ ἀπόστολος· ὁ δὲ ἀπόστολος καὶ προφήτης ἐστὶ πάντως καὶ *χαρίσματα* ἔχει *ἰαμάτων* καὶ *γένη γλωσσῶν* καὶ *ἑρμηνείας γλωσσῶν*[165]· διὸ ἀρχὴ καὶ ῥίζα ἐστὶ τῶν χαρισμάτων.

**δ'.** Καὶ ὅτι ταῦτα οὕτως ἔχει, Παῦλον ὑμῖν παράγομεν μάρτυρα. Πρῶτον δὲ ἀναγκαῖον εἰπεῖν τί ποτέ ἐστι γένη γλωσσῶν. Τί οὖν ἐστι γένη γλωσσῶν; Τὸ παλαιὸν ὁ βαπτισθεὶς καὶ πιστεύσας εὐθέως πρὸς τὴν φανέρωσιν τοῦ Πνεύματος διαφόροις ἐλάλει γλώσσαις. Ἐπειδὴ γὰρ ἔτι ἀσθενέστερον διέκειντο οἱ τότε καὶ τὰ νοητὰ χαρίσματα ὁρᾶν οὐκ ἠδύναντο τοῖς ὀφθαλμοῖς τῆς σαρκός, ἐδίδοτο αἰσθητὸν χάρισμα τὸ νοητὸν γενέσθαι καταφανές· καὶ ὁ βαπτισθεὶς εὐθέως καὶ τῇ ἡμετέρᾳ γλώσσῃ καὶ τῇ τῶν Περσῶν καὶ τῇ τῶν Ἰνδῶν καὶ τῇ τῶν Σκυθῶν ἐφθέγγετο, ὥστε μαθεῖν καὶ τοὺς ἀπίστους ὅτι Πνεύματος ἁγίου ἠξίωτο. Καὶ ἦν τὸ μὲν σημεῖον αἰσθητόν· ἡ τοιαύτη φωνὴ λέγω· τῇ γὰρ αἰσθήσει τοῦ σώμα-

[163] 1 Co 12, 28
[164] 1 Co 12, 28
[165] cf. 1 Co 12, 9–10

**[Ms. *Va V Y (partim) Ha (a l. 310,* ἴδωμεν*) T G K $W_4$ (partim) $P_2$ (partim) $S_2$ (partim)*]** 181 τούτων ] μείζων *add. K* || 181 καὶ ] *om. K* || 183 ἔχει ] καὶ ἐβούλει *add. K* || 184 χωρίῳ ] V legi nequit || 184 ἀποστολὴν ] ἀποστολικὴν *Patr.* || 187 καθήμενον τὸν ἀπόστολον ] *iter. sed corr. cum ras. G* || 188 οὐδὲ *T G K* ] οὔτε *Va V Patr.* || 188 φησί ] φησίν *T* || 189 ποιμένας καὶ διδασκάλους ] διδασκάλους καὶ ποιμένας *Patr.* || 192 σώματος *T G K* ] *om. Va V Patr.* || 192 καὶ ] *om. T* || 196 ἑαυτῇ ] αὐτῇ *aut* αὑτῇ *V* || 197 καὶ ] *om. T* || 197 ἀπόστολος *Va V T G* ] καὶ προφήτης *add. K Patr.* || 199 καὶ ἑρμηνείας γλωσσῶν *Va V Y Patr.* ] *om. T G, post* ἰαμάτων *transp. K* || 199 διὸ ] καὶ *add. K* || 200 παράγομεν *T G K* ] παραγάγω *Va V Patr.* || 201 ἀναγκαῖον ] τὸν *praem. T* || 201 τί – γλωσσῶν ] *om. T, add. in marg. V* (*al. man.* ?) || 205 τὸ *Va V G Front.* ] τοῦ *praem. T, om. K,* ὥστε τὸ *coni. Sav.$^{mg}$ Patr.* || 205 καταφανές *Va V T Patr.* ] καὶ *praem. G K* || 207 ἁγίου *T G K Patr.* ] ἀξίου *Va V* || 208 φωνὴ λέγω ] λέγω φωνή *T*

τος αὐτῆς ἤκουον· τὴν δὲ νοητὴν καὶ οὐχ ὁρωμένην τοῦ Πνεύματος χάριν πᾶσι τὸ αἰσθητὸν τοῦτο σημεῖον κατάδηλον ἐποίει. Καὶ τοῦτο τὸ σημεῖον ἐκαλεῖτο *γένη γλωσσῶν*. Ὅρα γάρ· μίαν γλῶσσαν ἔχων ἀπὸ τῆς φύσεως, ποικίλαις ἐλάλει γλώσσαις καὶ διαφόροις ἀπὸ τῆς χάριτος· καὶ ἦν ἰδεῖν ἄνθρωπον ἕνα μὲν τῷ ἀριθμῷ, ποικίλον δὲ | col. 93 τοῖς χαρίσμασι, καὶ διάφορα στόματα ἔχοντα καὶ διαφόρους γλώσσας.

Ἴδωμεν οὖν πῶς ὁ ἀπόστολος καὶ τοῦτο εἶχε τὸ χάρισμα καὶ τὰ ἄλλα πάντα. Περὶ μὲν τούτου οὕτως λέγει· «*Πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶ*[166].» Εἶδες πῶς ἔχει τὰ *γένη τῶν γλωσσῶν* καὶ οὐκ ἔχει μόνον, ἀλλὰ καὶ μετὰ πλείονος ὑπερβολῆς ἢ οἱ λοιποὶ πάντες πιστοί; Οὐ γὰρ εἶπεν ὅτι «Γλώσσας ἔχω» μόνον, ἀλλὰ καὶ «*Πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶ*.» Τὴν δὲ προφητείαν ἣν εἶχε δι᾽ ἐκείνων δείκνυσι τῶν ῥημάτων οὕτω λέγων· «*Τὸ δὲ Πνεῦμα ῥητῶς λέγει ὅτι ἐν ὑστέροις καιροῖς*[167] *ἐνστήσονται καιροὶ χαλεποί*[168]»· ὅτι δὲ τὰ *ἐν ὑστέροις καιροῖς* λέγειν προφητεία ἐστί, παντί που δῆλον. Καὶ πάλιν· «*Τοῦτο δὲ γινώσκετε ὅτι ἐν ἐσχάτοις* καιροῖς *ἐνστήσονται καιροὶ χαλεποί*[169]»· καὶ πάλιν· «*Λέγω* δὲ *ὑμῖν ἐν λόγῳ Κυρίου ὅτι ἐν τῇ παρουσίᾳ* αὐτοῦ *ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας*[170].» Καὶ τοῦτο δὲ προφητεία ἐστίν. Εἶδες πῶς *γένη γλωσσῶν* καὶ προφητείας ἔχει; Βούλει μαθεῖν πῶς ἔχει καὶ χαρίσματα ἰαμάτων; Ἀλλὰ τάχα τοῦτο οὐδὲ τῆς ἀπὸ τῶν λογων ἀποδείξεως δεῖται, ὅταν ἴδωμεν οὐ μόνον τοὺς ἀποστόλους, ἀλλὰ καὶ τὰ ἱμάτια αὐτῶν χαρίσματα ἰαμάτων ἔχοντα[171]. Ὅτι δὲ καὶ διδάσκαλος ἦν ἐθνῶν, πολλαχοῦ τοῦτο λέγει[172], καὶ ὅτι τῆς οἰκουμένης ἀντελαμβάνετο πάσης καὶ διεκυβέρνα τὰς Ἐκκλησίας[173].

Ὅταν οὖν ἀκούσῃς «*πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον* ποιμένας καὶ *διδασκάλους, χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν*[174]»,

[166] 1 Co 14, 18
[167] 1 Tm 4, 1
[168] 2 Tm 3, 1
[169] 2 Tm 3, 1
[170] 1 Th 4, 15
[171] cf. Ac 19, 12
[172] cf. Ac 15, 3 ; 1 Tm 2, 7 ; 2 Tm 1, 11
[173] cf. 1 Co 4, 17 ; 1 Co 7, 17 ; 1 Co 10, 33 ; 1 Co 16, 1 ; Col 1, 24–25
[174] 1 Co 12, 28

**[Ms. *Va V Y (partim) Ha (a l. 310,* ἴδωμεν*) T G K* $W_4$ *(partim)* $P_2$ *(partim)* $S_2$ *(partim)*]** 209 αὐτῆς *Va V* $G^{ac}$ *Patr.* ] αὐτὴν *T* $G^{pc}$ *K* || 210 τὸ ] *om. G* || 211 ὅρα ] ὁ *coni. Sav.*$^{mg}$ *Front. Patr.* || 216 οὕτως ] οὕτω *Patr.* || 217 μετὰ ] *om. Va* || 218 γλώσσας ἔχω *Va V T G K* ] γλώσσαις ἔχω λαλεῖν *Sav. Front. Patr.* || 221 ἐνστήσονται *Va V K Patr.* ] ἀποστήσονται *T G* || 221 καιροὶ χαλεποί *Va V K Patr.* ] τινες τῆς πίστεως *T G* || 221 τὰ ] καὶ *praem. V* || 222 προφητεία ] προφητείας *K* || 222 παντί ] πάντη *T* || 222 δῆλον ] ἐστι *add. K* || 222–223 γινώσκετε – πάλιν ] *om. K* || 223 ἐσχάτοις καιροῖς *Va V Y Patr.* ] ἐσχάταις ἡμέραις *T G* || 223 λέγω δὲ ὑμῖν ] λέγομεν *K* || 224 τῇ ] *om. Patr.* || 225 φθάσωμεν *G K Patr.* ] φθάσομεν *Va V T* || 226 ἔχει$^1$ ] εἶχεν *K* || 226 ἔχει$^2$ ] εἶχεν *K* || 229 ἦν ] *om. T* || 229 ἐθνῶν ] τῶν *praem. K Patr.* || 229 πολλαχοῦ τοῦτο ] πολλακοῦτο *Va* || 231–232 ποιμένας καὶ διδασκάλους ] διδασκάλους καὶ ποιμένας *G* || 232 ἀντιλήψεις κυβερνήσεις ] κυβερνήσεις ἀντιλήψεις *K*

μάθε ὅτι πᾶσα ἡ χορηγία τῶν λοιπῶν χαρισμάτων ὥσπερ ἐν κεφαλῇ τῇ ἀποστολῇ ἐναπόκειται. Ἆρ’ οὐ ψιλὸν ἐνομίζετε εἶναι τὸ ὄνομα τῶν ἀποστόλων πρὸ τούτου; Ἰδοὺ νῦν ἔγνωτε πόσον βάθος ἔχει νοήματος τὸ ὄνομα. Ταῦτα δὲ εἰρήκαμεν οὐκ οἰκείας δυνάμεως ἐπίδειξιν ποιούμενοι· οὐ γὰρ ἡμέτερα τὰ λεγόμενα· ἀλλὰ τῆς τοῦ Πνεύματος χάριτος τῶν ῥᾳθυμοτέρων τὴν νωθρίαν διεγειρούσης, ὥστε μηδὲν παρατρέχειν ἁπλῶς. Εἰκότως ἄρα ὑπατείαν πνευματικὴν ἐκαλέσαμεν τὴν ἀποστολήν. Ἄρχοντες γάρ εἰσιν ὑπὸ Θεοῦ χειροτονηθέντες οἱ ἀπόστολοι, ἄρχοντες οὐκ ἔθνη καὶ πόλεις διαφόρους λαμβάνοντες, ἀλλὰ πάντες κοινῇ τὴν οἰκουμένην ἐμπιστευθέντες.

Καὶ ὅτι ἄρχοντές εἰσι πνευματικοί, καὶ τοῦτο ἀποδεῖξαι πειράσομαι, ἵνα μετὰ τὴν ἀπόδειξιν μάθητε ὅτι τοσούτῳ βελτίους εἰσὶν οἱ ἀπόστολοι τῶν ἀρχόντων τῶν βιωτικῶν, ὅσον αὐτοὶ οἱ βιωτικοὶ ἄρχοντες τῶν παίδων τῶν παιζόντων ἀμείνους εἰσί. Πολλῷ γὰρ μείζων αὕτη ἐκείνης ἡ ἀρχή, καὶ μᾶλλον τὴν ἡμετέραν συνέχει ζωήν, καὶ ταύτης ἀρθείσης πάντα οἴχεται καὶ διαλέλυται. Τί ποτ’ οὖν ἐστιν ἀρχῆς σύμβολον καὶ τίνα ἔχειν τὸν ἄρχοντα χρή; Δεσμωτηρίου ἐξουσίαν, ὥστε τοὺς μὲν δῆσαι, τοὺς δὲ λῦσαι, τοὺς μὲν ἐκβάλλειν, τοὺς δὲ ἐμβάλλειν. Κύριός ἐστιν ἀφεῖναι πάλιν χρημάτων ὀφλήματα καὶ τοὺς μὲν ἀπολῦσαι ὄντας ὑπευθύνους, τοὺς δὲ κελεῦσαι ἀποδοῦναι. Κύριός ἐστιν εἰς θάνατον πάλιν ἀπαγαγεῖν καὶ ἀπὸ τοῦ θανάτου καλέσαι· μᾶλλον δὲ τοῦτο ἄρχοντος μὲν οὐκ ἔστι, βασιλέως δὲ μόνου· μᾶλλον δὲ οὐδὲ βασιλέως ὁλόκληρόν ἐστι τὸ | δῶρον. Οὐ col. 94
γὰρ ἀπὸ θανάτου καλεῖ τὸν ἀπιόντα, ἀλλ’ ἐξ ἀπαγωγῆς μόνον, καὶ ἀπόφασιν μὲν λῦσαι δύναται, θάνατον δὲ λύσαι οὐ δύναται, ἀλλ’ ἐμβαλεῖν μὲν εἰς θάνατον δύναται, ἀπὸ θανάτου δὲ ἀνακαλέσασθαι οὐ δύναται· καὶ τὸ μὲν χεῖρον ἔχει, τοῦ βελτίονος δὲ ἀπεστέρηται. Ἀπὸ τῆς ζώνης δὲ πάλιν δοκιμάζομεν τὸν ἄρχοντα, ἀπὸ τῆς τοῦ κήρυκος φωνῆς, ἀπὸ τῶν ῥαβδούχων, ἀπὸ τοῦ ὀχήματος, ἀπὸ τοῦ ξίφους· ταῦτα γὰρ πάντα ἀρχῆς σύμβολα.

Ἴδωμεν τοίνυν καὶ τὴν τῶν ἀποστόλων ἀρχήν, εἰ ταῦτα ἔχει τὰ σύμβολα· ἔχει μέν, οὐ τοιαῦτα δέ, ἀλλὰ πολλῷ βελτίονα. Καὶ ἵνα μάθῃς ὅτι ταῦτα μὲν ὀνόματα πραγμάτων, ἐκεῖνα δὲ ἀλήθεια πραγμάτων, ἵνα μάθῃς τὸ μέσον τῶν παιδίων τῶν παιζόντων ἀρχὰς καὶ τῶν ἀρχόντων τῶν ἐχόντων τὰς ἀρχάς· καί, εἰ βούλεσθε,

---

**[Ms. *Va V Y (partim) Ha (a l. 310,* ἴδωμεν*) T G K $W_4$ (partim) $P_2$ (partim) $S_2$ (partim)*]** 234 ἐνομίζετε εἶναι *Va V T K* ] εἶναι ἐνομίζετε *G*, ἐνομίζετε *Patr.* || 234 τὸ ὄνομα ] τοὔνομα *Patr.* || 235 ἔγνωτε ] ἔγνω *T* || 235 νοήματος ] νοημάτων *G* || 236 τὰ ] *add. in marg. T* (*al. man.* ?) || 237 νωθρίαν *Va V $K^{ac}$ Patr.* ] νωθείαν *T G*, νωθρείαν *$K^{pc}$* (*corr. al. man.*) || 240 διαφόρους ] καὶ φόρους *K* || 243 τοσούτῳ ] τοσούτου *G* || 244 ὅσον *Va V G K* ] ὅσῳ T Patr. || 245 πολλῷ *T G K* ] πολὺ *Va V Patr.* || 246 ποτ’ *Va V G Patr.* ] ποτε *T K* || 247 τίνα *T G K Patr.* ] τίνας *Va V* || 248 ἐκβάλλειν *Va V T Patr.* ] ἐμβαλεῖν *$G^{pc}$ K* || 248 ἐμβάλλειν *Va V T Patr.* ] ἐκβαλεῖν *G K* || 250–251 ἀπαγαγεῖν ] ἀγαγεῖν *V* || 251 τοῦ *Va T K Patr.* ] *om. V G* || 251 καλέσαι ] ἀνακαλέσαι *G* || 252 μόνου *Va V T G* ] μόνον *K Patr.* || 253 ἀπαγωγῆς *T G K Patr.* ] ἐπαγωγῆς *Va V* || 254–255 θάνατον – δύναται[1] ] *om. Patr.* || 254 θάνατον – δύναται *T G K* ] *om. Va V* || 254 ἀλλ’ *T G K* ] *om. Va*, καὶ *V* || 255 ἀπὸ θανάτου ] θάνατον *G* || 255 ἀνακαλέσασθαι ] λῦσαι *G* || 260 καὶ *Va V Y K Patr.* ] *om. T G* || 261 ἀλήθεια *T G K Patr.* ] ἀληθείας *Va V* || 262 ἀρχόντων *T G K* ] ἀρχῶν *Va V Patr.*

ἀπὸ τοῦ δεσμωτηρίου πρῶτον ἀριθμήσωμεν. Καὶ γὰρ εἰρήκαμεν ὅτι κύριος τοῦ δῆσαι καὶ λῦσαί ἐστιν ὁ ἄρχων. Ὅρα δὴ ταύτην τὴν ἀρχὴν τοὺς ἀποστόλους ἔχοντας. «Ὅσους γὰρ *ἂν δήσητε ἐπὶ τῆς γῆς*, φησίν, *ἔσονται δεδεμένοι ἐν τοῖς οὐρανοῖς· καὶ ὅσους ἂν λύσητε ἐπὶ τῆς γῆς ἔσονται λελυμένοι ἐν* τοῖς *οὐρανοῖς*[175].» Εἶδες δεσμωτηρίου καὶ δεσμωτηρίου ἐξουσίαν, καὶ τὸ μὲν ὄνομα τὸ αὐτό, τὸ δὲ πρᾶγμα οὐ τὸ αὐτό; Δεσμὰ καὶ δεσμά· ἀλλὰ τὰ μὲν ἐπὶ τῆς γῆς, τὰ δὲ ἐν οὐρανῷ. Οὐρανὸς γάρ ἐστιν αὐτοῖς τὸ δεσμωτήριον. Μάθε τοίνυν τὸ μέγεθος τῆς ἀρχῆς. Ἐπὶ τῆς γῆς καθήμενοι φέρουσι τὴν ψῆφον καὶ τῆς ψήφου ἡ δύναμις διαβαίνει τοὺς οὐρανούς. Καὶ καθάπερ οἱ μὲν βασιλεῖς καθήμενοι ἐν μιᾷ πόλει ψηφίζονται καὶ νομοθετοῦσιν, ἡ δὲ τῶν ψηφισμάτων καὶ τῶν νόμων δύναμις πᾶσαν διατρέχει τὴν οἰκουμένην· οὕτω καὶ τότε οἱ μὲν ἀπόστολοι ἐν ἑνὶ τόπῳ καθήμενοι ταῦτα ἐνομοθέτουν· ἡ δὲ τῶν νόμων δύναμις καὶ τῶν δεσμῶν τούτων οὐχὶ τὴν οἰκουμένην μόνον διέτρεχεν, ἀλλὰ καὶ εἰς αὐτὸ τὸ ὕψος τῶν οὐρανῶν ἀνέβαινεν. Εἶδες δεσμωτήριον καὶ δεσμωτήριον, τὸ μὲν ἐπὶ γῆς, τὸ δὲ ἐν οὐρανῷ, τὸ μὲν σωμάτων, τὸ δὲ ψυχῶν; Μᾶλλον δὲ καὶ ψυχῶν καὶ σωμάτων· οὐ γὰρ σώματα ἐδέσμουν μόνον, ἀλλὰ καὶ ψυχάς.

**ε'**. Βούλει μαθεῖν πῶς κύριοι ἦσαν καὶ ὀφλήματα ἀφίεναι; Καὶ γὰρ καὶ ἐνταῦθα πολὺ τὸ διάφορον ὄψει· οὐ γὰρ ὀφλήματα χρημάτων, ἀλλ' ὀφλήματα ἁμαρτημάτων ἠφίεσαν· «Ὧν γάρ, φησίν, *ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται αὐτοῖς·* καὶ ὧν ἂν *κρατῆτε, κεκράτηνται*[176].»

Τί μετὰ τοῦτο ἀποδεῖξαι χρὴ ὅτι καὶ εἰς θάνατον ἔπεμπον καὶ ἀπὸ θανάτου πάλιν ἐκάλουν, οὐκ ἐξ ἀποφάσεως μόνης καὶ ἀπαγωγῆς, ἀλλὰ καὶ ἐκ θανάτου τοὺς κειμένους ἤδη καὶ διαφθαρέντας ἀνιστῶντες; Ποῦ τοίνυν κατεδίκασαν; Ποῦ δὲ ἀπήλλαξαν θανάτου; Ὁ Ἀνανίας καὶ ἡ Σάπφειρα ἱεροσυλίας ἑάλωσαν[177]· εἰ γὰρ καὶ τὰ ἑαυτῶν ἔκλεψαν χρήματα, ἀλλ' ὅμως ἱεροσυλίας τὸ τόλμημα ἦν· μετὰ γὰρ τὴν ὑπόσχεσιν οὐκ ἔτι ἦν αὐτῶν τὰ χρήματα. Τί οὖν ὁ ἀπόστολος; Ἄκουσον πῶς καθάπερ ἐν δικαστηρίῳ καθήμενος τὸν ἱερόσυλον εἰσάγει καὶ πεῦσιν προσάγει καθάπερ δικαστὴς καὶ τότε τὴν ἀπόφασιν ἐπ|άγει. Οὐ γὰρ πρὸ col. 95 τῆς ἐρωτήσεως ἡ ἀπόφασις· δήλη μὲν γὰρ ἦν ἡ ἁμαρτία· ἀλλ' ἵνα ἡμᾶς τοὺς ἔξωθεν περιεστῶτας πείσῃ ὅτι δικαίως ἐπάγει τὴν ψῆφον, διὰ τοῦτο ποιεῖται τὴν

[175] Mt 18, 18
[176] Jn 20, 23
[177] cf. Ac 5, 1–10

**[Ms. *Va V Y (partim) Ha (a l. 310,* ἴδωμεν*) T G K $W_4$ (partim) $P_2$ (partim) $S_2$ (partim)*]** 263 ἀριθμήσωμεν ] ἀριθμήσομεν *Sav. Front. Patr.* || 264 δῆσαι καὶ λῦσαί ] λῦσαι καὶ δῆσαί *T* || 265 φησίν ] *ante* ἐπὶ *transp. K* || 266 καὶ – οὐρανοῖς *T G K Front. Patr.* ] *om. Va V Sav.* || 266 ἂν ] ἐὰν *K* || 266 τοῖς ] *om. Patr.* || 267 εἶδες ] ἴδες *Va* || 267 καὶ δεσμωτηρίου ] *om. T* || 268 τῆς ] *om. G* || 270 τῆς ] *om. K* || 270 καθήμενοι ] οἱ ἀπόστολοι *add. K* || 274 δεσμῶν ] δεσμωτῶν *G* || 276 ἀνέβαινεν ] διέβαινεν *K* || 276 Εἶδες ] ἴδες *Va* || 276 γῆς ] τῆς *praem. V* || 279 ἀφίεναι *T G K* ] ἀφεῖναι *Va V Patr.* || 281 ἠφίεσαν *T G K* ] ἀφίεσαν *Va V Patr.* || 281 ἀφέωνται *Va V G Patr.* ] ἀφίενται *T K* || 282 κρατῆτε ] κρατεῖτε *Va* || 284 μόνης ] μόνον *G* || 286 ἱεροσυλίας *Va V Y K Patr.* ] ἱεροσυλίᾳ *T G* || 289 καθήμενος τὸν ἱερόσυλον ] τὸν ἱερόσυλον καθήμενος *K* || 291 ἦν ] καὶ *add. K*

ἐρώτησιν οὕτω λέγων· «*Διὰ τί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου ψεύσασθαί σε τὸ Πνεῦμα τὸ ἅγιον καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου; Οὐχὶ μένον σοι ἔμενε καὶ πραθὲν ἐπὶ τῇ σῇ ἐξουσίᾳ ὑπῆρχεν; Οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ*[178].» Τί οὖν ἀκούων ἐκεῖνος τοὺς λόγους τούτους; *Πεσὼν ἐξέψυξεν*[179]. Εἶδες πῶς καὶ ξίφος ἔχουσιν οἱ ἀπόστολοι; Ὅταν ἀκούσῃς τοῦ Παύλου λέγοντος ὅτι «*Ἐπὶ πᾶσι*[180] *τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ*[181]», ἀναμνήσθητι τῆς ἀποφάσεως ταύτης, ὅτι οὐδαμοῦ ξίφος καὶ τῷ ῥήματι πληγεὶς ὁ ἱερόσυλος ἔπεσεν. Εἶδες μάχαιραν ἠκονημένην καὶ γεγυμνωμένην; Οὐδαμοῦ σίδηρος, οὐδαμοῦ λαβή, οὐδαμοῦ χεῖρες· ἀλλ' ἀντὶ τῆς χειρὸς ἡ γλῶττα τὰ ῥήματα ἀντὶ τῆς μαχαίρας ἐξενεγκοῦσα εὐθέως ἐκεῖνον ἀπέσφαξε. Μετὰ τοῦτον εἰσῆλθεν ἡ γυνὴ[182] καὶ ἐβούλετο δοῦναι αὐτῇ πρόφασιν ἀπολογίας, ἀφορμὴν συγγνώμης· διὰ τοῦτο πάλιν ἐρωτᾷ· «*Εἰπέ μοι εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε*[183].» Καίτοι γε ᾔδει ὅτι οὐ τοσούτου[184], ἀλλ' ἵνα αὐτὴν διὰ τῆς ἐρωτήσεως εἰς μετάνοιαν ἀγάγῃ καὶ καταγνῷ τῶν ἡμαρτημένων καὶ μεταδῷ συγγνώμης αὐτῇ, διὰ τοῦτο αὐτὴν ἐρωτᾷ. Ἀλλ' ὅμως ἐκείνη μετὰ ταῦτα ἀναισχύντως διέκειτο· διὰ τοῦτο ἐκοινώνησε τῆς τιμωρίας τοῦ ἀνδρός. Εἶδες δεσμωτηρίου δύναμιν; Εἶδες πῶς εἰσι κύριοι ἀφιέναι ἁμαρτήματα; Εἶδες πῶς εἰσι κύριοι εἰς θάνατον πέμπειν;

Ἴδωμεν καὶ τὸ βέλτιον, πῶς ἀπὸ θανάτου ἀνακαλοῦνται πάλιν. Ἡ Ταβιθὰ ἡ μαθήτρια ἐλεημοσύναις πολλαῖς κομῶσα ἀπέθανε[185]· καὶ δρόμος εὐθέως ἐπὶ τοὺς ἀποστόλους[186]. Ἤδεισαν γὰρ ὅτι καὶ θανάτου καὶ ζωῆς ἐξουσίαν εἶχον, ᾔδεισαν τὴν ἄνω ἀρχὴν καὶ κάτω κατενεχθεῖσαν. Τί οὖν ἐλθὼν ὁ Πέτρος[187]; «*Ταβιθά, ἀνάστηθί*[188]», φησιν. Οὐδεμιᾶς πραγματείας ἐδέησεν αὐτῷ, οὐχ ὑπηρετῶν,

[178] Ac 5, 3–4
[179] Ac 5, 5
[180] Ep 6, 16
[181] Ep 6, 17
[182] cf. Ac 5, 7
[183] Ac 5, 8
[184] cf. Ac 5, 3
[185] cf. Ac 9, 36–37
[186] cf. Ac 9, 38
[187] cf. Ac 9, 39
[188] Ac 9, 40

**[Ms. *Va V Y (partim) Ha (a l. 310,* ἴδωμεν*) T G K* $W_4$ *(partim)* $P_2$ *(partim)* $S_2$ *(partim)*]**
295 ἐπὶ *Va V Y K Patr.* ] ἐν *T G* || 296 ἀκούων ] φησὶ *add. K* || 296 ἐκεῖνος ] *post* τούτους *transp. K* || 297 ὅταν ] οὖν *add. G* || 297 τοῦ ] *om. Patr.* || 298 πᾶσι *Va V Y Patr.* ] πᾶσιν *T G K*, ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως καὶ *add. T G K* || 298 ὅ ] ἤ *K* || 300 σιδήριον *K* ] σίδηρον *Va V Y*, σίδηρος *T G Patr.* || 300–301 οὐδαμοῦ λαβή ] *om. K* || 301 ἀλλ' *Y T G K* ] ἀλλὰ *Va V Patr.* || 301 τῆς *Va V Y K Patr.* ] *om. T G* || 302 τοῦτον *Va Y G K Patr.* ] τοῦτο *V T* || 302 εἰσῆλθεν ] πάλιν *praem. K* || 303 δοῦναι αὐτῇ ] αὐτῇ δοῦναι *Patr.* || 305 ἐρωτήσεως ] αὐτῆς *praem. K* || 305–306 καταγνῷ *Va V K Patr.* ] μεταγνῷ *Y T G* || 306 μεταδῷ ] μετα** *Va* || 307 ἐκείνη ] καὶ *add. K* || 308 τιμωρίας τοῦ ἀνδρός ] τοῦ ἀνδρὸς τιμωρίας *K* || 308–309 ἀφιέναι – κύριοι *Y T G K* ] *om. Va V Patr.* || 310 ἴδωμεν ] οὖν *add. K* || 310 ἀνακαλοῦνται ] ἀποκαλοῦνται *Sav. Front. Patr.* || 313 καὶ *Y Ha T G K* ] *om. Va V Patr.* || 313–314 ταβιθά *Va V Ha G K* ] ταβηθά *Y T* || 314 φησιν ] *post* πέτρος *transp. K*

οὐ διακόνων, ἀλλ’ ἤρκεσε τὰ ῥήματα πρὸς τὴν ἀνάστασιν· ἤκουσε γοῦν τῆς φωνῆς ὁ θάνατος καὶ οὐκ ἴσχυσε κατασχεῖν τὴν νεκράν. Εἶδες οἷαι τῶν δικαστῶν τούτων αἱ φωναί; Αἱ μὲν γὰρ τῶν ἔξωθεν δικαστῶν ἀσθενεῖς. Κἂν γὰρ ἐπιτάξῃ τις ἐκείνων, ὁ δὲ διακονῶν μὴ ὑπηρετήσῃ, διεκόπη τὸ προσταχθέν· ἐνταῦθα δὲ οὐ δεῖται διακόνων, ἀλλ’ εἶπε καὶ εὐθέως ἐγένετο. Εἶδες αὐτῶν τὸ δεσμωτήριον, ὅπερ ἀρχῆς ἐστι σύμβολον; Εἶδες πῶς ἀφιᾶσιν ἁμαρτήματα, πῶς λύουσι θάνατον, πῶς εἰς ζωὴν ἐπανάγουσι;

Βούλει μαθεῖν καὶ τὴν ζώνην αὐτῶν; Καὶ γὰρ ἐζωσμένους αὐτοὺς ὁ Χριστὸς ἔπεμψεν[189], οὐχὶ ἐν δέρματι, ἀλλ’ ἐν ἀληθείᾳ. Αὕτη ἡ ζώνη ἁγία καὶ πνευματική. Διὰ τοῦτό φησι· «*Περιεζωσμένοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ*[190].» Καὶ γὰρ καὶ ἡ ἀρχὴ πνευματική, διὸ μηδὲν αἰσθητὸν ζήτει· «*Πᾶσα* γὰρ *ἡ δόξα* τῆς *θυγατρὸς τοῦ βασιλέως ἔσωθεν*[191].»

Ἀλλὰ τί; Βούλει καὶ τοὺς δημίους ἰδεῖν; Δήμιοί εἰσιν οἱ τοὺς ὑπευθύνους μαστίζοντες, προσαρτῶντες τῷ ξύλῳ, διαξαίνοντες τὰς πλευράς, παιδεύοντες, κολάζοντες. Βούλει οὖν τούτους ἰδεῖν; Οὐκ ἀνθρώπους ἔχουσιν, ἀλλ’ αὐτὸν τὸν διάβολον καὶ τοὺς δαίμονας· οἱ σῶμα καὶ σάρκα περικείμενοι τὰς ἀσω|μάτους col. 96 εἶχον ὑπηρετούσας δυνάμεις. Ἄκουσον γοῦν πῶς μετὰ αὐθεντίας ἐκείνοις ἐπέταττεν ὁ Παῦλος· περὶ γὰρ τοῦ πεπορνευκότος γράφων ἔλεγε· «*Παράδοτε τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός*[192].» Πάλιν ἐφ’ ἑτέρων βλασφημούντων τὸ αὐτὸ τοῦτο πεποίηκε· «*Παρέδωκα* γὰρ *αὐτούς*, φησί, *τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν*[193].»

Τί λοιπὸν ὑπολέλειπται δεῖξαι; Ὅτι καὶ ὀχήματα ἔχουσιν; Ἀλλ’ οὐδὲ ταύτης ἀπορήσομεν τῆς ἀποδείξεως· τὸν γὰρ Φίλιππον, ἐπειδὴ τὸν εὐνοῦχον ἐβάπτισε καὶ πρὸς τὴν ἱερὰν μυσταγωγίαν ἐχειραγώγησεν[194], ἔδει δὲ αὐτὸν ἐπανελθεῖν, *ἥρπασεν αὐτὸν* τὸ *Πνεῦμα* καὶ *εὑρέθη εἰς Ἄζωτον* ἀπὸ τῆς ἐρήμου[195]. Εἶδες ὄχημα ὑπόπτερον; Εἶδες ζεῦγος ἀνέμου σφοδρότερον; Πάλιν ἔδει τὸν ἀπόστολον εἰς τὸν παράδεισον ὁδεῦσαι μῆκος οὕτω πολὺ καὶ διάστημα ἄπειρον. Κἀκεῖνος

[189] cf. Lc 12, 35 (Ex 12, 11 *cit.*)
[190] Ep 6, 14
[191] Ps 45 (44), 14
[192] 1 Co 5, 5
[193] 1 Tm 1, 20
[194] cf. Ac 8, 38
[195] Ac 8, 39–40

**[Ms. *Va V Y (partim) Ha (a l. 310,* ἴδωμεν*) T G K* $W_4$ *(partim)* $P_2$ *(partim)* $S_2$ *(partim)*]** 317 κἂν γὰρ *Va V Y K Patr.* ] καὶ γὰρ ἐὰν *Ha T G* || 317 ἐπιτάξῃ *Y Ha T G K* ] ἐπίταξις *Va V* || 318 ὑπηρετήσῃ ] ὑπηρετήσει *K* || 320 ἁμαρτήματα ] ἁμαρτήματ* *K* || 321 εἰς ] καὶ (?) *praem.* $V^{pc}$ || 323–324 αὕτη – ἀληθείᾳ *Y Ha T G K Front. Patr.* ] *om. Va V Sav.* || 324 διὰ *Y Ha T G K* ] καὶ *praem. Front. Patr.* || 324 καὶ ] *om. Sav. Front. Patr.* || 325 μηδὲν ] μηδὲ *Va* || 327 δήμιοί εἰσιν ] *om. T* || 328 προσαρτῶντες ] προσαναρτῶντες *V* || 331 ὑπηρετούσας δυνάμεις ] δυνάμεις ὑπηρετούσας *G* || 334 αὐτοὺς φησί ] φησιν αὐτούς *K* || 337 ἀπορήσομεν *Va Ha T G K* ] ἀπορήσωμεν $V^{ac}$ *G* || 339 ἀπὸ τῆς ἐρήμου ] *om. K*

πάλιν ἀθρόον ἁρπαγεὶς ἐκεῖ μετεφέρετο ἀπονητὶ καὶ ἐν βραχείᾳ καιροῦ ῥοπῇ[196].

Τὰ μὲν οὖν ὀχήματα τοιαῦτα· ἡ δὲ τοῦ κήρυκος φωνὴ καὶ αὕτη πάλιν ἀξία τῆς ἀρχῆς. Οὐ γὰρ ἄνθρωπος αὐτῶν προηγεῖτο φωνὴν ἀφιείς, ἀλλ' ἡ τοῦ Πνεύματος χάρις καὶ ἡ διὰ τῶν θαυμάτων ἐπίδειξις πάσης σάλπιγγος λαμπροτέραν ἠφίει φωνήν· οὕτως αὐτοῖς πανταχοῦ προωδοποίει.

Καὶ καθάπερ οἱ ἄρχοντες ἐν πολλῇ περιφανείᾳ καθεστήκασι, τῶν ἰδιωτῶν οὐ τολμώντων αὐτοῖς ἁπλῶς ἀναμίγνυσθαι· οὕτω καὶ ἐπὶ τῶν ἀποστόλων ἐγίνετο· «*Τῶν* γὰρ *λοιπῶν*, φησίν, *οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς, ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός*[197].»

Εἶδες δεσμωτηρίου δύναμιν καὶ ἀφέσεως ὀφλημάτων ἰσχύν, καὶ ξίφος ἔχοντας καὶ ζώνην ἐζωσμένους καὶ ὀχήματι ὁδεύοντας καὶ φωνὴν πάσης σάλπιγγος λαμπροτέραν προηγουμένην αὐτῶν καὶ ἐν πολλῇ περιφανείᾳ ὄντας;

ϛʹ. Ἀναγκαῖον ἦν καὶ τὰ κατορθώματα αὐτῶν δεῖξαι πάντα καὶ ὅσα τὴν οἰκουμένην ὤνησαν. Καὶ γὰρ καὶ τοῦτο ἀρχόντων τὸ μὴ τιμῆς ἀπολαύειν μόνον, ἀλλὰ καὶ πολλὴν ἐνδείκνυσθαι τοῖς ἀρχομένοις τὴν πρόνοιαν καὶ τὴν προστασίαν. Ἀλλὰ πλείονα τοῦ δέοντος καὶ τὰ εἰρημένα. Διὰ τοῦτο εἰς ἑτέραν ἀναβαλλόμενος ταῦτα διάλεξιν, πρὸς τὴν τῶν νεοφωτίστων παραίνεσιν μεταγαγεῖν πειράσομαι τὸν λόγον.

Μηδεὶς δὲ ἄκαιρον νομιζέτω τὴν συμβουλήν. Καὶ γὰρ ἔφθην εἰπὼν ὅτι οὐ μετὰ δέκα καὶ εἴκοσι ἡμέρας μόνον, ἀλλὰ καὶ μετὰ δέκα καὶ εἴκοσι ἔτη δυνατὸν νεοφωτίστους καλεῖν τοὺς μεμυημένους, ἐὰν νήφωσι. Τίς οὖν ἂν γένοιτο πρὸς τούτους ἀρίστη παραίνεσις;

Εἰ τοῦ τρόπου τῆς γεννήσεως αὐτοὺς ἀναμνήσαιμεν, καὶ τοῦ προτέρου καὶ τοῦ δευτέρου, τοῦ φυσικοῦ καὶ τοῦ πνευματικοῦ[198], καὶ τί τὸ μέσον ἑκατέρας τῆς γεννήσεως δείξαιμεν. Μᾶλλον δὲ οὐδὲν δεῖ παρ' ἡμῶν αὐτοὺς ταῦτα μανθάνειν· αὐτὸς ὁ τῆς βροντῆς υἱὸς[199] περὶ τούτων αὐτοῖς διαλέξεται ὁ ἀγαπητὸς τοῦ Χριστοῦ Ἰωάννης[200]. Τί οὖν ἐκεῖνός φησιν; «*Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν*

[196] cf. 2 Co 12, 2 ; 4
[197] Ac 5, 13
[198] cf. Jn 3, 5–6
[199] cf. Mc 3, 17
[200] cf. Jn 13, 23

**[Ms. *Va V Y (partim) Ha (a l. 310,* ἴδωμεν*) T G K W$_4$ (partim) P$_2$ (partim) S$_2$ (partim)*]** 343 κήρυκος *Y Ha T G K Front. Patr.* ] κηρύγματος *Va V Sav.* || 345 ἐπίδειξις *Y Ha T G K* ] ἀπόδειξις *Va V Patr.* || 346 ἠφίει ] ἀφίει *Va* || 346 προωδοποίει *Y Ha T G K* ] προοδοποιεῖ Va V Patr. || 347 καὶ ] *om. T* || 348 ἐγίνετο ] ἐγένετο *G* || 352 σάλπιγγος *K Front. Patr.* ] φωνῆς *Va V Y Ha T G Sav.* || 354 ἦν ] δὴ *Sav. Front. Patr.* || 356 τοῖς ἀρχομένοις K$^{pc}$ ] τοὺς ἀρχομένους *Va V K$^{ac}$*, πρὸς τοὺς ἀρχομένους *Y Ha T G Sav. Front. Patr.* || 358 μεταγαγεῖν *Y Ha T G K* ] παραγαγεῖν *Va V Patr.* || 359 τὸν ] *om. Patr.* || 360 οὐ *Ha T G K* ] *deleu. Va, eras. V* || 361 δέκα καὶ ] *om. K* || 361 ἡμέρας – εἴκοσι ] *om. Va V G* || 362 οὖν *Va V K* ] *om. Y Ha T G* || 364 προτέρου *Va V K* ] πρώτου *Y Ha T G* || 365 τοῦ ] καὶ *praem. T* || 365 φυσικοῦ ] φυσικο* *K* || 365 καὶ ] κ** *K* || 366 μᾶλλον ] μᾶ*λον *K* || 366 οὐδὲν *Y K* ] οὐ *Va V Patr.*, οὐδὲ *Ha G* || 367 διαλέξεται *Va V K* ] διαλέγεται *Y Ha T G*

*αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι*[201]»· εἶτα ἀναμιμνήσκων αὐτοὺς τῆς προτέρας γεννήσεως καὶ ἐκ συγκρίσεως τὸ σεμνὸν τῆς παρούσης χάριτος ἐνδεικνύμενος οὕτω φησί· «*Οἳ οὐκ ἐξ αἱμάτων οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ᾽ ἐκ Θεοῦ ἐγεννήθησαν*[202].» Ἑνὶ ῥήματι πᾶσαν αὐτῶν ἔδειξε τὴν εὐγένειαν. Ὦ καθαρῶν ὠδίνων, ὢ πνευματικῶν τόκων, ὢ καινῶν λοχευμάτων, χωρὶς μήτρας σύλληψις, χωρὶς γαστρὸς γέννησις, χωρὶς σαρ|κὸς τόκος, τόκος πνευματικὸς, τόκος col. 97
ἐκ χάριτος καὶ φιλανθρωπίας Θεοῦ[203], τόκος εὐφροσύνης γέμων καὶ χαρᾶς.

Ἀλλ᾽ οὐ τοιοῦτος ὁ πρότερος, ἀλλ᾽ ἀπὸ θρήνων ἔχει τὴν ἀρχήν. Τὸ γὰρ παιδίον ἐκ τῆς μήτρας ὀλισθαῖνον καὶ ἐκ τῆς νηδύος καταφερόμενον πρώτην φωνὴν μετὰ δακρύων ἐκβάλλει, καθάπερ καὶ τίς φησι· «*Πρώτην φωνὴν τὴν ὁμοίαν ἅπασιν ἴσα κλαίων*[204].» Διὰ θρήνων γὰρ ἡ *εἴσοδος εἰς τὸν βίον*[205], διὰ δακρύων τὰ προοίμια τῆς ζωῆς, ἐξ αὐτῶν τῶν προπυλαίων τῆς φύσεως τὸ μέλλον ὀδυνηρὸν προαναφωνούσης.

Τί κλαίει τὸ παιδίον εἰς φῶς ἐλθόν; Διὰ τοῦτο πρὸ μὲν τῆς ἁμαρτίας ἔλεγεν ὁ Θεός· «*Αὐξάνεσθε καὶ πληθύνεσθε*[206]», ὅπερ εὐλογίας ἦν, τὸ δέ· «*Ἐν λύπαις τέξῃ τέκνα*[207]» μετὰ τὴν ἁμαρτίαν, ὅπερ τιμωρίας ἦν.

Οὐ δάκρυα δὲ ἐν τῇ γεννήσει μόνον, ἀλλὰ καὶ σπάργανα[208] καὶ δεσμά, δάκρυα ἐν τῇ γεννήσει, δάκρυα ἐν θανάτῳ, σπάργανα ἐν γεννήσει, σπάργανα ἐν θανάτῳ, ἵνα μάθῃς ὅτι πρὸς θάνατον ἡ ζωὴ αὕτη τελευτᾷ, καὶ πρὸς ἐκεῖνο καταστρέφει τὸ τέλος.

Ἀλλ᾽ οὐχ ἡ γέννησις αὕτη τοιαύτη. Οὐ|δαμοῦ δάκρυα καὶ σπάργανα, ἀλλὰ col. 98
λελυμένος ὁ γεννηθεὶς καὶ πρὸς ἀγῶνας παρεσκευασμένος· διὰ τοῦτο ἄφετοι οἱ πόδες καὶ αἱ χεῖρες, ἵνα τρέχῃ καὶ πυκτεύῃ· οὐδαμοῦ θρῆνος, οὐδαμοῦ δάκρυα

[201] Jn 1, 12
[202] Jn 1, 13
[203] cf. Tt 3, 4
[204] Sg 7, 3
[205] cf. Sg 7, 6
[206] Gn 1, 28
[207] Gn 3, 16
[208] cf. Sg 7, 4

**[Ms. *Va V Y (partim) Ha (a l. 310,* ἴδωμεν*) T G K $W_4$ (partim) $P_2$ (partim) $S_2$ (partim)*]** 371 θελήματος ] σαρκὸς οὐδὲ ἐκ θελήματος *add. K* || 372 πᾶσαν *Y Ha T G K* ] *om. Va V Patr.* || 374 χωρὶς γαστρὸς γέννησις ] *om. V* || 377 ὀλισθαῖνον *Va V K* ] ὀλισθαίνων *Y,* διολισθαῖνον *Ha T G* || 378 καὶ *Y Ha T G K* ] *om. Va V Patr.* || 379 ἅπασιν ] ἄπεισιν *K* || 379 τὰ ] *om. Patr.* || 380 προπυλαίων ] πυλέων $V^{ac}$, προ *add. in marg* || 383 αὐξάνεσθε καὶ πληθύνεσθε ] αὐξάνεσθαι καὶ πληθύνεσθαι *Ha* || 384 τιμωρίας ] τιμωρία *V* || 386–387 σπάργανα – θανάτῳ ] *om. T* || 386 σπάργανα ἐν γεννήσει ] *om. Va V* || 386 γεννήσει *Ha T* ] τῇ *praem. Y G K* || 387 ἐκεῖνο ] ἐκείνῳ *Ha* || 389 τοιαύτη *Y Ha T G K* ] *om. Va V Patr.* || 390 γεννηθεὶς ] γεννηθεὶ* *K*

ἐνταῦθα, ἀλλ᾽ ἀσπασμοὶ καὶ φιλίαι καὶ περιπλοκαὶ τῶν ἀδελφῶν τὸ οἰκεῖον μέλος ἐπιγινωσκόντων καὶ ὥσπερ ἐκ μακρᾶς ἀπολαβόντων ἀποδημίας.

Ἐπειδὴ γὰρ πρὸ τοῦ φωτίσματος ἐχθρὸς ἦν, μετὰ δὲ τὸ φώτισμα γέγονε φίλος τοῦ κοινοῦ πάντων ἡμῶν Δεσπότου, διὰ τοῦτο πάντες συνηδόμεθα, διὰ τοῦτο καὶ τὸ φίλημα εἰρήνη καλεῖται, ἵνα μάθωμεν ὅτι πόλεμον κατέλυσεν ὁ Θεὸς, καὶ πρὸς τὴν οἰκείωσιν ἡμᾶς ἐπανήγαγε τὴν ἑαυτοῦ.

Ταύτην οὖν τηρῶμεν διηνεκῶς, ταύτην φυλάττωμεν τὴν εἰρήνην, ταύτην ἐπιτείνωμεν τὴν φιλίαν, ἵνα καὶ τῶν αἰωνίων ἐπιτύχωμεν σκηνῶν, χάριτι καὶ φιλανθρωπίᾳ[209] τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι[210], νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[209] cf. Tt 3, 4
[210] cf. Jn 6, 63

**[Ms. *Va V Y (partim) Ha (a l. 310,* ἴδωμεν*) T G K $W_4$ (partim) $P_2$ (partim) $S_2$ (partim)*]** 392 φιλίαι ] φιλία* *K* || 392 περιπλοκαὶ ] πλοκαὶ *T* || 393 ἀπολαβόντων ἀποδημίας ] ἀποδημίας ἀπολαβόντων *K* || 397 ἡμᾶς *Ha Y T G K* ] *om. Va V Patr.* || 398–399 ἐπιτείνωμεν ] ἐκτείνωμεν *Sav. Front. Patr.* || 399 σκηνῶν ] ἀγαθῶν *V* || 400 ] *om. Va V T G K* || 400 μεθ᾽ *Va V Y Ha T G K Sav.* ] δι᾽ οὗ καὶ *praem. Front. Patr.* || 400 ἡ δόξα ] δόξα τιμὴ κράτος *Sav. Front. Patr.* || 400 ἅμα ] σὺν *K* || 401 αὐτοῦ *Y Ha T K* ] *om. Va V G Patr.* || 402 ἀμήν ] *om. G*

# Homélie 4 : *Conspectus siglorum*

## *Traditio directa*

| | |
|---|---|
| *C* | **Berlin**, Deutsche Staatsbibliothek, *Phillippicus* 1443, *saec.* XVI<br>ff. 124–136 |
| *G* | **Genova**, Biblioteca Franzoniana, *Urbani* 13, *saec.* XI<br>ff. 143–156$^{v}$ |
| *Ha* | **Hagion Oros**, Bibliothêkê tou Prôtatou, 2, *saec.* X<br>ff. 2$^{v}$, 284$^{r\text{-}v}$ (*frag.*) |
| *L* | **Hagion Oros**, Monê Koutloumousiou, 39, *saec.* X-XI<br>ff. 2$^{v}$–2$^{r}$, 276$^{v}$–276$^{r}$ (*frag.*) |
| *Y* | **Moskva**, Gosudarstvennyj Istoričeskij Musej, *Synod. gr.* 128, *saec.* X<br>ff. 40$^{v}$–49$^{v}$ |
| *K* | **Oxford**, Bodleian Library, *Holkham. gr.* 41, *saec.* X-XI<br>ff. 120–145$^{v}$ |
| $P_3$ | **Paris**, Bibliothèque Nationale de France, *Suppl. gr.* 400, *saec.* XVII<br>ff. 95–105$^{v}$, 107$^{r\text{-}v}$, 106$^{r\text{-}v}$, 108$^{r\text{-}v}$ (*cod. Sir.*) |
| *T* | **Torino**, Biblioteca Nazionale Universitaria, B. I. 10, *saec.* XI<br>ff. 80–92$^{v}$ |
| *Va* | **Città del Vaticano**, Bib. Apostolica Vaticana, *Vaticanus gr.* 560, *saec.* X<br>ff. 280$^{v}$–294 |
| *V* | **Città del Vaticano**, Biblioteca Apostolica Vaticana, *Vaticanus gr.* 1920, *saec.*X<br>ff. 350–362$^{v}$ |
| *U* | **Venezia**, Biblioteca Nazionale Marciana, *Gr.* Z 111, *saec.* XI<br>ff. 315–321 |

## *Editiones*

| | |
|---|---|
| *Front.* | *Joannis Chrysostomi opera omnia … cura Frontonis Ducaei,*<br>Parisiis 1621, t. V, pp. 941–961 |
| *Patr.* | *Patrologia Graeca* 51, Parisiis 1862, col. 97–112 |

**Tit.** Τοῦ αὐτοῦ. Ὅτι οὐκ ἀκίνδυνον τοῖς ἀκροαταῖς τὸ σιγᾶν τὰ λεγόμενα ἐν ἐκκλησίᾳ, καὶ τίνος ἕνεκεν ἐν τῇ Πεντηκοστῇ αἱ Πράξεις ἀναγινώσκονται, καὶ διὰ τί οὐκ ἔδειξε πᾶσιν ἑαυτὸν ἀναστὰς ὁ Χριστός, καὶ ὅτι τῆς ὄψεως ταύτης σαφεστέραν παρέσχε τὴν τῆς ἀναστάσεως ἀπόδειξιν τὴν διὰ τῶν σημείων τῶν ἀποστόλων.

**α'.** Τὸ μὲν πλέον τοῦ χρέους τοῦ συντεθέντος ἡμῖν ἀπὸ τῆς ἐπιγραφῆς τῶν Πράξεων τῶν ἀποστολικῶν ἐν ταῖς ἔμπροσθεν ὑμῖν κατεβάλομεν ἡμέραις· ἐπειδὴ δὲ ἔτι μικρὸν ἐναπέμεινε λείψανον, ἀνέστην καὶ τοῦτο καταθήσων ὑμῖν σήμερον. Εἰ δὲ μετὰ ἀκριβείας φυλάττετε τὰ εἰρημένα καὶ μετὰ πολλῆς κατέχετε τῆς σπουδῆς, ὑμεῖς ἂν εἰδείητε οἱ τὸ ἀργύριον ὑποδεξάμενοι καὶ τῶν ἀργυρίων τούτων μέλλοντες λόγον διδόναι τῷ Δεσπότῃ κατὰ τὴν ἡμέραν ἐκείνην, ὅταν οἱ τὰ τάλαντα πιστευθέντες καλῶνται καὶ τὰς εὐθύνας ὑπέχωσιν[211], ὅταν ἐλθὼν ὁ Χριστὸς ἀπαιτῇ τοὺς τραπεζίτας τὸ ἀργύριον τοῦτο μετὰ τῶν τόκων. « *Ἔδει* γάρ *σέ*, φησι, *καταβαλεῖν τὸ ἀργύριόν μου ἐπὶ τοὺς τραπεζίτας, καὶ ἐγὼ ἐλθὼν* μετὰ *τόκου ἂν* ἀπῄτησα *αὐτό*[212]. » Ἀνθρώπους κωλύων ἀπαιτεῖν τόκους, αὐτὸς ἀπαιτεῖ τόκους· ἐκεῖνος διαβεβλημένος ὁ τόκος καὶ κατηγορίας ἄξιος· οὗτος ἐπαινετὸς καὶ πολλῆς ἀποδοχῆς ἄξιος. Ἐκεῖνος ὁ τόκος ὁ τῶν χρημάτων καὶ τὸν λαμβάνοντα καὶ τὸν διδόντα ζημιοῖ· τοῦ μὲν γὰρ διδόντος ἐπιτρίβει τὴν πενίαν, τοῦ δὲ λαμβάνοντος ἀπόλλυσι τὴν ψυχήν.

Τί γὰρ ἂν γένοιτο χαλεπώτερον, ἀλλ' ἢ ὅταν τις τὴν πενίαν τοῦ πλησίον ἐμπορεύηται καὶ τὰς τῶν ἀδελφῶν πραγματεύηται συμφοράς, ὅταν τις προσω-

[211]cf. Mt 25, 14–15 ; 19
[212]Mt 25, 27 ; Lc 19, 23

**[Ms. *Va V L (a l. 131,* ἐπιλέ]λησθε*, usque ad l. 185,* γέ[νηται*, et a l. 295,* οὐδέπω*, usque ad l. 349,* ἐ[κείνου*) Y Ha (usque ad l. 22,* προσχήματι*, et a l. 368,* ἀλλαχοῦ*, usque ad l. 427,* τελευτήσαντα*) T G K U (partim) C (partim) $P_3$ (partim)* ]** 1 **Tit.** τοῦ αὐτοῦ ] *om. Patr.* || 1 ὅτι ] εἰς τὸ *praem. K* || 1 τὸ σιγᾶν τὰ λεγόμενα ] τὸ τὰ λεγόμενα σιγᾶν $K^{pc}$, τὰ λεγόμενα τὸ σιγᾶν $K^{ac}$ || 2 ἐν τῇ πεντηκοστῇ ] *om. G, add.* $P_3^{mg}$, *post* πράξεις *transp. Patr.* || 3 ταύτης *Y Ha (et deleu. ?) T G K* $P_3^{txt}$ *(excl.* $P_3^{mg}$*)* ] *om. Va V U C Patr.* || 5 ἀποστόλων ] γινομένην *add. Ha* || 1 **α'**. ἀπὸ ] ὡς τὸ *ut uid. G*, ὑπὸ $P_3$ *(corr.* $P_3^{mg}$*) Patr.* || 2 κατεβάλομεν *Y Ha T G K* ] κατεβάλλομεν *Va V* || 4 φυλάττετε *Va V Y Ha T K G* $P_3^{txt}$ *Patr.* ] φυλάττεται *U C* $P_3^{mg}$ *(et eras.)* || 5 τῆς ] *om. Patr.* || 5 εἰδείητε ] εἰδῆτε *G* $P_3$ *(et corr.* $P_3^{mg}$*)* || 6 λόγον ] τὸν *praem. G* $P_3$ *Patr.* || 8 ἀπαιτῇ *Va V Y Ha T K* ] ἀπαιτεῖ *G U C* $P_3$ || 8 τῶν τόκων *Y T G K* ] τὸν τόκον *Va V Ha* || 9 γάρ σέ ] σε γάρ *T* || 10 ἂν ] *om.* $P_3^{txt}$ *(et add.* $P_3^{mg}$*)* || 10 ἀνθρώπους ] ὢ τῆς πολλῆς καὶ ἀφάτου φιλανθρωπίας τοῦ δεσπότου· *praem. G* $P_3^{txt}$ *(et* a *adn.* $P_3^{mg}$*) Patr.* || 11 ἐκεῖνος ] διὰ τί· ἐπειδὴ *praem. G* $P_3^{txt}$ *(et* b *adn.* $P_3^{mg}$*) Patr.* || 11 διαβεβλημένος ὁ τόκος *Va V Y T K* ] ὁ τόκος διαβεβλημένος *Ha G* $P_3^{txt}$ *Patr.* || 11 καὶ ] ἐστὶ *praem. G* $P_3$ *Patr.* || 11 οὗτος ] δὲ *add. G* $P_3$ *Patr.* || 12 ἄξιος ] ἐστιν *praem. G* $P_3^{txt}$ *(et excl.* $P_3^{mg}$*) Patr.* || 12 ἐκεῖνος ] τοίνυν *add. G* $P_3^{txt}$ *(et excl.* $P_3^{mg}$*) Patr.* || 12 χρημάτων ] λέγω *add. S G* $P_3^{txt}$ *(et excl.* $P_3^{mg}$*) Patr.* || 13 διδόντα ] διδοῦντα *Y* || 13 τοῦ$^{1}$ ] καὶ *praem. G* $P_3$ *Patr.* || 13 γὰρ ] *om. G* $P_3$ *Patr.* || 13–14 διδόντος – πενίαν ] *pro* λαμβάνοντος – ψυχὴν *transp. G* $P_3$ *(et* c *adn.* $P_3^{mg}$*) Patr.* || 14 λαμβάνοντος – ψυχὴν ] *pro* διδόντος – πενίαν *transp. G* $P_3$ *Patr.* || 14 ἀπόλλυσι ] ἀπόλυσι *G* || 15 ἀλλ' ἢ ] ἄλλο *Y* || 16–17 προσωπείῳ ] προσωπεῖον *G* $P_3$ *Patr.*

πείῳ φιλανθρωπίας πᾶσαν ἀπανθρωπίαν ἐπιδείκνυται, καὶ ὡς χεῖρα μέλλων ὀρέγειν πρὸς τὸ βάραθρον ὠθῇ τὸν βοηθείας δεόμενον; Τί ποιεῖς, ἄνθρωπε; Οὐ διὰ τοῦτο πρὸς τὰς σὰς ἦλθε θύρας ὁ πένης, ἵνα αὐξήσῃς αὐτῷ τὴν πενίαν, ἀλλ' ἵνα λύσῃς τὴν πενίαν. Σὺ δὲ ταυτὸν ποιεῖς οἷον οἱ τὰ δηλητήρια κεραννύντες φάρμακα. Καὶ γὰρ ἐκεῖνοι τὴν συνήθη | col. 98 τροφὴν αὐτοῖς ἀναμίξαντες ἀνεπαίσθητον ποιοῦσι τὴν ἐπιβουλήν, καὶ οὗτοι φιλανθρωπίας προσχήματι τῶν τόκων τὸν ὄλεθρον κρύψαντες οὐκ ἐῶσιν αἰσθέσθαι τῆς βλάβης τοὺς μέλλοντας πίνειν τὸ θανάσιμον τοῦτο φάρμακον.

Διόπερ εὔκαιρον ὃ περὶ τῆς ἁμαρτίας εἴρηται τοῦτο καὶ περὶ τῶν τοκιζόντων καὶ δανειζομένων εἰπεῖν. Τί δὲ περὶ τῆς ἁμαρτίας εἴρηται; « *Πρὸς καιρόν*, φησι, *γλυκαίνει σὸν φάρυγγα, ὕστερον δὲ πικρότερον χολῆς εὑρήσεις καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου*[213]. » Τοῦτο καὶ ἐπὶ τῶν δανειζομένων γίνεται· ὅταν μὲν γὰρ λαμβάνῃ τὰ χρήματα ὁ δεόμενος, παραμυθίαν λαμβάνει μικράν τινα καὶ πρόσκαιρον· ὕστερον δὲ τῶν τόκων αὐξομένων καὶ τοῦ φορτίου μείζονος τῆς δυνάμεως γενομένου ἐκεῖνο τὸ γλυκὺ καὶ λιπάναν τὸν *φάρυγγα πικρότερον* ὄψεται γινόμενον, *καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου*, τῶν πατρῴων πάντων ἀποστῆναι ἀθρόον ἀναγκαζόμενος.

**β'.** Ἀλλ' ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ πνευματικὰ τὸν λόγον μεταγάγωμεν. « *Ἔδει σέ*, φησι, *καταβαλεῖν τὸ ἀργύριόν μου ἐπὶ τοὺς τραπεζίτας*[214] », ἐκείνου τοῦ ἀργυρίου « τραπεζίτας » ὑμᾶς τοὺς τῶν ῥημάτων τούτων ἀκροατὰς καλῶν. Καὶ τίνος

[213] Pr 5, 3–4
[214] Mt 25, 27 ; cf. Lc 19, 23

**[Ms.** ***Va V L (a l. 131,*** **ἐπιλέ]λησθε,** ***usque ad l. 185,*** **γέ[νηται,** ***et a l. 295,*** **οὐδέπω,** ***usque ad l. 349,*** **ἐ[κείνου)** ***Y Ha (usque ad l. 22,*** **προσχήματι,** ***et a l. 368,*** **ἀλλαχοῦ,** ***usque ad l. 427,*** **τελευτήσαντα)** ***T G K U (partim) C (partim) $P_3$ (partim)*** **]** 17 φιλανθρωπίας ] ἔχων *add. G $P_3$* (*et* d *adn. $P_3^{mg}$*) *Patr.* || 17 ὡς *Va V U C* ] ὁ *Y Ha T K G $P_3$ Patr.* || 17 χεῖρα ] χεῖραν *G* || 18 ὠθῇ *Y Ha T G K* ] ὠθεῖ *Va V* || 18 ἄνθρωπε ] ὦ *praem. G $P_3$* || 19 τὰς ] *om. Patr.* || 19 ἦλθε θύρας *Y Ha T G K* ] θύρας ἦλθεν *Va V* || 19 αὐτῷ *Va V Y Ha T* ] αὐτοῦ *G K U C $P_3$ Patr.* || 19–20 ἀλλ' – πενίαν ] *om. $P_3^{txt}$* (*et add. $P_3^{mg}$*) || 20 τὴν² *Va V Y Ha T* ] αὐτοῦ *praem. G K U C $P_3^{mg}$ Patr.* || 20 ταυτὸν *Va V Ha T K* ] ταὐτὸ *Y G $P_3^{ac}$* || 21 αὐτοῖς *Y Ha T G K* ] *om. Va V* || 22 προσχήματι ] πρὸς σχήματι *G* || 22 τῶν τόκων *Va V Y T G* ] τῷ τόκῳ *K U C $P_3^{mg}$* || 23 αἰσθέσθαι *Va V Y T Patr.* ] αἰσέσθαι *$K^{ac}$ U C*, ἔσεσθαι *G $P_3$* || 24 θανάσιμον ] θαῦμα *praem. $P_3^{txt}$* (*et excl. $P_3^{mg}$*) || 25 τοῦτο ] *om. Patr.* || 27 σὸν ] τὸν *Patr.* || 27 φάρυγγα *Va V Y T K U C $P_3^{mg}$* ] λάρυγγα *G $P_3$ Patr.* || 27 ἠκονημένον *Va V G K* ] ἠκονημένην *Y T* || 28 τοῦτο ] τοίνυν *add. G $P_3^{txt}$ (et excl. $P_3^{mg}$) Patr.* || 29 λαμβάνει *Va V Y T K* ] λαμβάνῃ *G U C* || 29 μικράν τινα *Va V G K* ] τινὰ μικρὰν *Y T* || 30 αὐξομένων *Y Patr.* ] αὐξουμένων *Va V T G*, αὐξανομένων *K U C $P_3^{mg}$* || 31 γενομένου *Va V G K* ] γινομένου *Y T* || 31 ἐκεῖνο *Va V T G K* ] ἐκείνῳ *U C $P_3^{mg}$* || 31 φάρυγγα *Va V Y T K U C $P_3^{mg}$* ] λάρυγγα *G $P_3^{txt}$ Patr.* || 31 πικρότερον *Va V U C* ] χολῆς *add. Y T G K $P_3^{txt}$* (*et excl. $P_3^{mg}$*) *Patr.* || 32 καὶ ἠκονημένον ] *om. K*, καὶ τῶν *** *add. al. man. $K^{mg}$ cum siglo in textu* || 32 τῶν ] καὶ *praem. G $P_3$* || 33 ἀποστῆναι ] στῆναι *$K^{ac}$*, ἐκστῆναι *$K^{pc}$* (ἐκ *s. l. add. al. man.*) || 33 ἀθρόον *Va V Y T G $P_3^{txt}$* ] *om. U C*, *excl. $P_3^{mg}$* || 34 **β'.** αἰσθητῶν ] μαθητῶν *$P_3$* (*et corr. $P_3^{mg}$*) || 34 μεταγάγωμεν *Va V Y T G $K^{pc}$* ] μεταγάγομεν *$K^{ac}$ U C $P_3^{mg}$*, μετάγωμεν *$P_3$ Patr.* || 35 καταβαλεῖν ] μεταβαλεῖν *$C^{ac}$* (*et corr. cum* κα *s. l.*) || 35 μου *V T G K* ] *om. Va Y* || 35 ἐπὶ *Va V Y T G K U* ] εἰς *C $P_3^{mg}$* || 35–36 ἐκείνου – τραπεζίτας *Va V Y T G K* ] *om. U C* || 36 ὑμᾶς ] ἡμᾶς *T* || 36 καλῶν ] *post* ὑμᾶς *transp. G $P_3^{txt}$* (*et* e *adn. $P_3^{mg}$*) *Patr.*

ἕνεκεν « τραπεζίτας » ὑμᾶς ἐκάλεσεν ὁ Θεός; Παιδεύων ἅπαντας τὴν αὐτὴν σπουδὴν ἐπιδείκνυσθαι περὶ τὴν δοκιμασίαν τῶν λεγομένων, ὅσην ἐκεῖνοι σπουδὴν ἔχουσι περὶ τὴν ἐξέτασιν τῶν νομισμάτων. Καθάπερ οὖν οἱ τραπεζῖται τὸ μὲν κίβδηλον καὶ παράσημον ἐκβάλλουσι νόμισμα, τὸ δὲ δόκιμον καὶ ὑγιὲς δέχονται καὶ διακρίνουσι τὸ νόθον ἀπὸ τοῦ γνησίου· οὕτω καὶ σὺ ποίησον· μὴ πάντα παραδέχου λόγον, ἀλλὰ τὸν μὲν κίβδηλον ἔκβαλε, τὸν δὲ ὑγιῆ καὶ σωτηρίαν ἔχοντα παράπεμπε τῇ διανοίᾳ. Ἔστι γάρ, ἔστι καὶ σοῦ ζυγὰ καὶ σταθμία | οὐκ [col. 99] ἀπὸ χαλκοῦ κατεσκευασμένα, ἀλλ' ἀπὸ πίστεως συγκείμενα, Διὰ τούτων δοκίμαζε λόγιον ἅπαν. Καὶ γὰρ διὰ τοῦτό φησι· « Γίνεσθε τραπεζῖται δόκιμοι[215] », οὐχ ἵνα ἐπὶ τῆς ἀγορᾶς ἑστῶτες τὰ ἀργύρια ἀριθμῶμεν, ἀλλ' ἵνα τοὺς λόγους βασανίζωμεν μετὰ ἀκριβείας ἁπάσης. Διὰ τοῦτό φησι· « *Πάντα* μὲν *δοκιμάζετε*, τὸ δὲ *καλὸν κατέχετε*[216]. »

Οὐ διὰ τὴν δοκιμασίαν δὲ μόνον ὑμᾶς « τραπεζίτας » ἐκάλεσεν, ἀλλὰ καὶ διὰ τὴν τῶν καταβαλλομένων διανομήν. Καὶ γὰρ τοῖς τραπεζίταις, ἐὰν μόνον ὑποδεχόμενοι τὰ χρήματα κατακλείωσιν οἴκοι, μηκέτι δὲ εἰς ἑτέρους διανέμωσιν, ἅπαν τὸ τῆς ἐμπορίας οἰχήσεται. Καὶ ἐπὶ τῶν ἀκροατῶν τὸ αὐτὸ τοῦτο γίνεται. Ἂν γὰρ δεξάμενος τὴν διδασκαλίαν παρὰ σαυτῷ κατασχῇς, μηκέτι δὲ εἰς ἑτέρους ἐκβάλῃς, πᾶσά σου ἡ πραγματεία διαρρυήσεται. Διὰ τοῦτο ἐπὶ τῶν ἐργαστηρίων ἐκείνων διὰ πάσης ἡμέρας εἴσοδόν τε καὶ ἔξοδον γινομένην ὁρῶμεν. Τοῦτο τοίνυν καὶ ἐπὶ τῆς διδασκαλίας γινέσθω. Καὶ γὰρ ἐπὶ τῶν τραπεζιτῶν ἐκείνων ὁρῶμεν τοὺς μὲν καταβάλλοντας χρήματα, τοὺς δὲ λαμβάνοντας εὐθέως καὶ ἀπιόντας, καὶ τοῦτο διὰ πάσης ἡμέρας γινόμενον. Διὰ τοῦτο, καίτοι τῶν χρημάτων οὐκ

[215] cf. *Agraphon* 11
[216] 1 Th 5, 21

[Ms. Va V L (a l. 131, ἐπιλέ]λησθε, usque ad l. 185, γέ[νηται, et a l. 295, οὐδέπω, usque ad l. 349, ἐ[κείνου) Y Ha (usque ad l. 22, προσχήματι, et a l. 368, ἀλλαχοῦ, usque ad l. 427, τελευτήσαντα) T G K U (partim) C (partim) $P_3$ (partim)] 37 ὑμᾶς ] ἡμᾶς T || 39 ἐξέτασιν ] διέτασιν $P_3^{mg}$ (falso leg. in C), καὶ εἴσοδον add. G $P_3$ Patr. || 39 οὖν ] γὰρ G $P_3$ (et corr. $P_3^{mg}$) Patr. || 41 μὴ ] καὶ praem. G $P_3^{txt}$ (et excl. $P_3^{mg}$) Patr. || 42 μὲν Va V Y T G K ] om. U C || 42 κίβδηλον ] καὶ διεφθαρμένον add. G $P_3^{txt}$ (et excl. $P_3^{mg}$) Patr. || 42 ἔκβαλε Va V K ] ἔκβαλλε Y T G U C $P_3$ Patr., ἀπὸ σοῦ add. G $P_3^{txt}$ (et excl. $P_3^{mg}$) Patr. || 43 σοῦ ] σοὶ G $P_3$ (et corr. $P_3^{mg}$) Patr. || 44 χαλκοῦ ] καὶ σιδήρου add. G $P_3^{txt}$ (et excl. $P_3^{mg}$) Patr. || 44 κατεσκευασμένα ] κατασκευασμένα G || 44 πίστεως ] ἁγνείας καὶ praem. G $P_3$ Patr. || 44 διὰ ] καὶ praem. G $P_3^{txt}$ (et excl. $P_3^{mg}$) Patr. || 45 λόγιον ἅπαν Va V ] ἅπαν λόγιον K U C $P_3^{mg}$, λόγον ἅπαντα Y T G $P_3^{txt}$ Patr. || 45 γίνεσθε Va V Y T G K $P_3^{txt}$ ] γίνεσθαι U C $P_3^{mg}$ || 46 ἐπὶ τῆς ] ἐπὶ τελῆς eras. et in marg. corr. C || 46 ἀριθμῶμεν ] ἀριθμῆτε G $P_3$ (et corr. $P_3^{mg}$) Patr. || 47 βασανίζωμεν ] βασανίζητε G $P_3$ (et corr. $P_3^{mg}$) Patr. || 47 διὰ τοῦτο ] καὶ ὁ ἀπόστολος παῦλός add. G $P_3$ (et f adn. $P_3^{mg}$) Patr. || 47 μὲν δοκιμάζετε Va V Y T G K ] δοκιμάζοντες U C $P_3^{mg}$ || 48 δὲ Va Y T K ] om. V G U C $P_3^{txt}$ (et δὲ post καλὸν s. l. add. $P_3$ al. man.), post καλὸν transp. Patr. || 48 κατέχετε ] μόνον add. G $P_3$ (et notauit linea $P_3^{mg}$) Patr. || 49 ὑμᾶς ] ἡμᾶς T || 50 διανομήν ] νομήν Patr. || 51 τὰ χρήματα κατακλείωσιν Y T G K C $P_3$ ] κατακλείωσι τὰ χρήματα Va V, τὰ χρήματα κατακλύωσιν ut uid. U || 52 οἰχήσεται Va V K ] οἴχεται Y T, οὕτω add. G $P_3^{txt}$ (et excl. $P_3^{mg}$) Patr. || 54 ἐκβάλῃς Va V Y T G K ] ἐκβάλλῃς U C $P_3$ || 55 γινομένην Va V Y T G $P_3^{txt}$ ] ἐγγινομένην K U C $P_3^{mg}$ || 56 γινέσθω Va V Y T G $P_3^{txt}$ ] γενέσθω K U C $P_3^{mg}$ || 56 γὰρ Va V Y T U C Patr. ] καὶ add. K G $P_3$ || 58 γινόμενον Va V Y ] ἔστιν ἰδεῖν add. T K U C $P_3^{mg}$, ἴδοι τις ἄν add. G (qui γενόμενον scr.) $P_3^{txt}$ Patr. || 58 διὰ τοῦτο Va V Y T G K $P_3^{txt}$ ] om. U C, excl. $P_3^{mg}$

ὄντων αὐτοῖς οἰκείων, ἐπειδὴ τῇ χρήσει πρὸς τὸ δέον κέχρηνται, διὰ τῶν ἀλλοτρίων πολλὴν ἑαυτοῖς συλλέγουσι τὴν εὐπορίαν. Οὕτω καὶ σὺ ποίησον. Οὐκ ἔστι ταῦτα τὰ λόγια σά, ἀλλὰ τοῦ Πνεύματος. Ἀλλ’ ὅμως ἐὰν ἀρίστην ἐπιδείξῃ τὴν χρῆσιν, πολλὴν ἑαυτῷ συνάξεις τὴν εὐπορίαν τὴν πνευματικήν· διὰ τοῦτο « τραπεζίτας » ὑμᾶς ἐκάλεσεν ὁ Θεός.

Τίνος δὲ ἕνεκεν « ἀργύριον » τὸν λόγον ἐκάλεσεν; Ὅτι καθάπερ τὸ ἀργύριον τὸν χαρακτῆρα ἔχει τὸν βασιλικὸν, οὕτω καὶ τὴν διδασκαλίαν τῆς πίστεως τὸν χαρακτῆρα ἀπηρτισμένον ἔχειν δεῖ· κἂν μὴ τοῦτο ἔχῃ, οὐκ ἔστιν ἀργύριον δόκιμον. Πάλιν τῶν ἀργυρίων ἡ χρῆσις ἅπασαν ἡμῶν συγκροτεῖ τὴν ζωήν, καὶ συμβολαίων ἁπάντων ὑπόθεσις γίνεται· κἂν ἀγοράσαι τι, κἂν πωλῆσαι δέῃ, διὰ τούτων ἅπαντα πράττομεν. Τοῦτο καὶ ἐπὶ τῆς διδασκαλίας γίνεται· τῶν γὰρ συμβολαίων τῶν πνευματικῶν ὑπόθεσίς ἐστι τὸ ἀργύριον τοῦτο· κἂν παρὰ τοῦ Θεοῦ τι βουληθῶμεν ἀγοράσαι, τὸν λόγον τῆς εὐχῆς καταβαλόντες, οὕτω λαμβάνομεν ἅπερ αἰτοῦμεν. Κἂν ἀδελφὸν ἴδωμεν ἠμελημένον καὶ ἀπολλύμενον, τὴν σωτηρίαν αὐτοῦ κερδήσωμεν καὶ τὴν ζωὴν ἀγοράσωμεν ὥσπερ ἀργύριον τὸν λόγον τῆς διδασκαλίας καταβάλλοντες.

Διὸ χρὴ μετὰ ἀκριβείας φυλάττειν καὶ κατέχειν ἅπαντα, ἵνα καὶ εἰς ἑτέρους διανείμωμεν· καὶ γὰρ καὶ τόκους τῶν ἀργυρίων τούτων ἀπαιτούμεθα. Προσέχωμεν τοίνυν τῇ ὑποδοχῇ, ἵνα καὶ εἰς ἑτέρους διανεῖμαι δυνηθῶμεν τὰ ἀργύρια· καὶ γὰρ ἕκαστος δύναμιν ἔχει διδασκαλίας. Οὐ δύνασαι Ἐκκλησίαν ὀρθῶσαι τοσαύτην, ἀλλὰ δύνασαι τὴν γυναῖκα τὴν σὴν νουθετῆσαι. Οὐ δύνασαι πρὸς πλῆθος τοσοῦτον διαλεχθῆναι, ἀλλὰ τὸν υἱόν σου σωφρονῆσαι δύνασαι. Οὐ δύνασαι πρὸς δῆμον τηλικοῦτον λόγον ἀποτεῖναι διδασκαλίας, ἀλλὰ τὸν οἰκέ-

---

**[Ms. *Va V L (a l. 131,* ἐπιλέ]λησθε*, usque ad l. 185,* γέ[νηται*, et a l. 295,* οὐδέπω*, usque ad l. 349,* ἐ[κείνου*) Y Ha (usque ad l. 22,* προσχήματι*, et a l. 368,* ἀλλαχοῦ*, usque ad l. 427,* τελευτήσαντα*) T G K U (partim) C (partim)* $P_3$ *(partim)* ]** 59 ἐπειδὴ *Va V Y T G K* $P_3^{txt}$ ] ἀλλ’ *praem. U C* $P_3^{mg}$ || 62 τὴν εὐπορίαν ] *om. G* $P_3$ (*et add.* $P_3^{mg}$) || 62 τοῦτο ] καὶ *add. G* $P_3$ (*et excl.* $P_3^{mg}$) *Patr.* || 63 ὑμᾶς ἐκάλεσεν *Va V Y T G* ] ἐκάλεσεν ὑμᾶς *K U C* || 63 θεός ] τίνος δὲ ἕνεκεν ὁ θεός *add. et exp. T* || 64 ἀργύριον τὸν λόγον *Va V Y G T* ] τὸν (*om.* $P_3^{mg}$) λόγον ἀργύριον *K U C* $P_3^{mg}$ || 64 ὅτι ] ἐπειδὴ *G* $P_3$ (*et corr.* $P_3^{mg}$) *Patr.* || 65 ἔχει ] ἀπηρτισμένον *add. G* $P_3$ (*et excl.* $P_3^{mg}$) *Patr.* || 66 χαρακτῆρα ] τοῦ λόγου *add. G* $P_3$ (*et excl.* $P_3^{mg}$) *Patr.* || 66–67 κἂν – δόκιμον ] ἀλλὰ κίβδηλον καλεῖται *post* δόκιμον *add. et post* βασιλικὸν *transp. G* $P_3$ (*et* g *adn.* $P_3^{mg}$) *Patr.* || 66 κἂν ] γὰρ *add. G* $P_3$ *Patr.* || 66 τοῦτο ] τοῦτον *G* || 66 ἔχῃ *Va Y T G* ] ἔχει *V*, ἤ̃ *K U C* || 67 ἅπασαν ] πᾶσαν *Patr.* || 68–69 κἂν[1] – γίνεται ] *om. V* || 70 τῶν ] *om. Patr.* || 70 ἐστι ] καὶ ῥίζα *add. G* $P_3^{txt}$ (*et excl.* $P_3^{mg}$) *Patr.* || 70 τοῦτο ] τὸ πνευματικόν· ὅθεν *add. G* $P_3^{txt}$ (*et excl.* $P_3^{mg}$) *Patr.* || 71 τοῦ θεοῦ *Y T G K* ] τῷ θεῷ *Va V* || 71 καταβαλόντες ] καταβάλλοντες $P_3^{mg}$ (*falso leg. in C*), πρῶτον *add. G* $P_3$ (*et excl.* $P_3^{mg}$) *Patr.* || 72 λαμβάνομεν ] λαμβάνωμεν *G* $P_3$ || 73 κερδήσωμεν *Va V Y T G K* ] κερδήσομεν *U C Patr.* || 73 ἀγοράσωμεν ] ἀγοράσομεν *Patr.* || 73 ὥσπερ ἀργύριον ] *om. Patr.* || 74 διδασκαλίας *Va V Y T G K* ] εὐσεβείας*U C* $P_3^{mg}$ || 75 ἀκριβείας ] ἁπάσης *add. G* $P_3^{txt}$ (*et excl.* $P_3^{mg}$) *Patr.* || 76 διανείμωμεν ] αὐτὰ *praem. G* $P_3^{txt}$ (*et excl.* $P_3^{mg}$) *Patr.* || 77 τῇ ] *om. T* || 77 διανεῖμαι δυνηθῶμεν *Va V Y T G* $P_3^{txt}$ ] δυνηθῶμεν διανεῖμαι *K U C* $P_3^{mg}$ || 78 ἕκαστος ] ἐὰν θέλῃ *add. G* $P_3$ *Patr.* || 78 ἔχει *Va V Y T G K* ] ἔχειν $P_3^{txt}$ (*et corr.* $P_3^{mg}$) || 80 σου *Va V Y T G K* ] *om. U C* || 80 σωφρονῆσαι *Va V Y* $T^{ac}$ *G K* ] σωφρονίσαι $T^{pc}$ $P_3^{mg}$ *Patr.* || 81 λόγον ] τὸν *praem. G Patr.* || 81 ἀποτεῖναι *Va V Y T G K* ] ἀποτείνειν $P_3^{txt}$ (*et corr.* $P_3^{mg}$) || 81–82 οἰκέτην ] σου *add. G* $P_3^{txt}$ (*et excl.* $P_3^{mg}$) *Patr.*

την βελτίονα ἐργάσασθαι δύνασαι. Οὐκ ἔστι σου μείζων τῆς δυνάμεως ἐκεῖνος τῶν μαθητῶν ὁ σύλλογος, οὐκ ἔστι σου πλέον τῆς συνέσεως ἐκεῖνο τῆς διδασκαλίας τὸ μέτρον, ἀλλὰ καὶ ἡμῶν εὐκολώτερον ὑμεῖς ἐκείνους ῥυθμίζειν δύνασθε πάντας. |

Ἐγὼ μὲν γὰρ ὑμῖν ἅπαξ τῆς ἑβδομάδος συγγίνομαι ἢ καὶ δεύτερον πολλάκις· col. 100
σὺ δὲ διαπαντὸς ἔνδον ἔχεις τῆς οἰκίας τοὺς μαθητὰς καὶ, τὴν γυναῖκα καὶ τὰ παιδία καὶ τοὺς οἰκέτας, καὶ ἐν ἑσπέρᾳ καὶ ἐν τραπέζῃ καὶ διὰ πάσης ἡμέρας δύνασαι διορθοῦν. Καὶ ἑτέρωθεν δὲ ἰατρεία εὐκολωτέρα γίνεται αὕτη· ἐγὼ μὲν γὰρ ἐν πλήθει τοσούτῳ οὐκ οἶδα τὸ διενοχλοῦν ὑμῖν πάθος τῆς ψυχῆς, διὸ ἀναγκάζομαι καθ' ἑκάστην διδασκαλίαν ἅπαντα προτιθέναι τὰ φάρμακα· ὑμᾶς δὲ οὐχ οὕτω ποιεῖν ἀνάγκη, ἀλλ' ἔξεστιν ὑμῖν μετὰ ἐλάττονος πόνου πλειόνως καρποῦσθαι τὴν διόρθωσιν· ἴστε γὰρ σαφῶς τὰ ἁμαρτήματα τῶν ὑμῖν συνοικούντων, διὸ καὶ ταχυτέραν δύνασθε ποιεῖσθαι τὴν θεραπείαν.

**γ'.** Μὴ τοίνυν ἀμελῶμεν τῶν συνοικούντων· καὶ γὰρ μεγίστη κεῖται κόλασις τοῖς ἀμελοῦσι τῶν οἰκείων καὶ οὐ περὶ τῶν τυχόντων ἡμῖν ὁ λόγος. « *Εἰ γάρ τις τῶν ἰδίων μάλιστα τῶν οἰκείων οὐ προνοεῖταί*, φησι, *τὴν πίστιν ἤρνηται καὶ ἔστιν ἀπίστου χείρων*[217]. » Ὁρᾷς ποῦ τὸν ἀμελοῦντα ὁ Παῦλος ἠκόντισε τῶν οἰκείων; Καὶ μάλα εἰκότως· ὁ γὰρ τῶν οἰκείων ἀμελῶν πῶς τῶν ἀλλοτρίων ἐπιμελήσεται; Οἶδα πολλάκις ταῦτα παραινέσας ὑμῖν· καὶ παραινῶν οὐδέποτε παύσομαι, καίτοι γε ἐγὼ ἀνεύθυνος λοιπὸν τῆς τῶν ἑτέρων ῥαθυμίας εἰμί· « *Ἔδει* γάρ, φησί, *καταβαλεῖν τὸ ἀργύριόν μου ἐπὶ τοὺς τραπεζίτας*[218] », καὶ πλέον οὐδὲν

[217] 1 Tm 5, 8
[218] Mt 25, 27 ; Lc 19, 23

**[Ms. *Va V L (a l. 131,* ἐπιλέ]λησθε, *usque ad l. 185,* γέ[νηται, *et a l. 295,* οὐδέπω, *usque ad l. 349,* ἐ[κείνου*) Y Ha (usque ad l. 22,* προσχήματι, *et a l. 368,* ἀλλαχοῦ, *usque ad l. 427,* τελευτήσαντα*) T G K U (partim) C (partim) $P_3$ (partim)* ]** 82 μείζων *Y T G K* ] μείζονα *Va V U C* || 84 ὑμεῖς ] ἐπειδὴ καὶ *praem. G $P_3^{txt}$ (et excl. $P_3^{mg}$)* || 84 δύνασθε ] δύνασθαι *Y* || 85 πάντας ] *post* ἐκείνους *transp. G $P_3^{txt}$ (et corr. $P_3^{mg}$) Patr.* || 87 σὺ *Va V Y T G K U* ] τὸ *C $P_3^{mg}$* || 87 οἰκίας *Va V Y T G K* ] οἰκείας *U C* || 87 καὶ ] *om. T* || 89 διορθοῦν ] αὐτοὺς *add. G $P_3^{txt}$ (et excl. $P_3^{mg}$) Patr.* || 89 καὶ[2] *Va V G U C $P_3$ Patr.* ] *om. Y T K* || 89 ἑτέρωθεν *Y G $P_3$ Patr.* ] ἑτέροθεν *Va V U C*, ὅθεν *T K* || 89 δὲ *Va V G U C $P_3$ Patr.* ] *om. Y T K* || 89 ἰατρεία *Va V Y K* ] ἡ *praem. T G $P_3^{txt}$ (et excl. $P_3^{mg}$) Patr.* || 89 αὕτη ] *post* ἰατρεία *transp. G $P_3^{txt}$ (et corr. $P_3^{mg}$) Patr.* || 90 τοσούτῳ ] διαλεγόμενος *add. G $P_3^{txt}$ (et excl. $P_3^{mg}$) Patr.* || 90 διενοχλοῦν ] ἐνοχλοῦν *G $P_3^{txt}$ (et corr. $P_3^{mg}$) Patr.* || 90 διὸ ] καὶ *add. G $P_3$ Patr.* || 91 καθ' *Y T G K U C* ] καὶ *praem. Va V* || 92 πλειόνως *Y T G K U C $P_3$* ] πλείονος *Va V*, πλείονα *Patr.* || 94 ποιεῖσθαι ] ποιῆσαι *Front. Patr.* || 95 **γ'**. τοίνυν ] ἀγαπητοὶ *add. G Patr.* || 95 συνοικούντων ] ἡμῖν *add. G Patr.* || 95 κεῖται κόλασις ] κόλασις κεῖται *G Patr.*, καὶ ἄφατος τιμωρία *add. G Patr.* || 96 καὶ – λόγος ] *om. G Patr.* || 97 τις ] φησὶν ὁ παῦλος *add. G Patr.* || 97 μάλιστα *Va V Y T* ] καὶ *praem. G K U Patr.* || 97 οὐ προνοεῖταί *Y T K* ] οὐ προνοεῖ *Va V U C*, *post* ἰδίων *transp. G Patr.* || 97 φησι ] *om. G Patr.* || 98 τὸν ἀμελοῦντα ] τῶν ἀμελοῦντα *G*, τῶν ἀμελούντων *Patr.* || 98 ὁ παῦλος *Y T G K* ] *om. Va V* || 98–99 τῶν οἰκείων ] *post* ἀμελοῦντα (ἀμελούντων *Patr.*) *transp. G Patr.* || 99 ἀμελῶν ] φησὶ *add. G Patr.* || 100 ἐπιμελήσεται ] ἐπιμεληθήσεται *G* || 100 καὶ ] ἀλλὰ *praem. G Patr.* || 102 γάρ ] σε *add. G Patr.* || 102 ἐπὶ τοὺς τραπεζίτας *Va V Y T G* ] τοῖς τραπεζίταις *K U*

ἀπῄτησεν. Ἐγὼ δὲ κατέβαλον τὸ ἀργύριον, καὶ οὐκ ἔχω λόγον οὐδένα· ἀλλ' ὅμως ἀνεύθυνος ὢν καὶ τῆς τιμωρίας ἀπηλλαγμένος τῆς ἐπὶ τούτοις, καθάπερ ὑπεύθυνος ὢν κολάσει καὶ τιμωρίᾳ, οὕτω δέδοικα καὶ τρέμω περὶ τῆς ὑμετέρας σωτηρίας.

Μηδεὶς τοίνυν ἁπλῶς μηδὲ ἠμελημένως ἀκουέτω τὸν λόγον· οὐδὲ γὰρ εἰκῆ μακρὰ ποιοῦμαι τὰ προοίμια, ἀλλ' ὥστε ἀσφαλεστέραν γενέσθαι τῶν καταβαλλομένων τὴν φυλακήν, ὥστε μὴ μάτην μηδὲ ἁπλῶς κροτήσαντας καὶ θορυβήσαντας ἀπελθεῖν. Οὐ γὰρ μέλει μοι τῶν παρ' ὑμῶν ἐπαίνων, ἀλλὰ φροντίζω τῆς ὑμετέρας σωτηρίας. Οἱ μὲν γὰρ ἐπὶ τῆς σκηνῆς ἀγωνιζόμενοι τὸν τοσοῦτον μισθὸν τὸν ἔπαινον παρὰ τοῦ δήμου λαμβάνουσιν· ἡμεῖς δὲ οὐκ ἐπὶ τούτοις ἀπεδυσάμεθα, ἀλλ' ἐπὶ τῷ τὸν παρὰ τοῦ Δεσπότου μισθὸν τὸν ἐπὶ τούτοις κείμενον λαβεῖν. Διὰ τοῦτο συνεχῶς ὑμῖν ταῦτα παρακελευόμεθα, ὥστε πρὸς τὸ βάθος τῆς διανοίας ὑμῶν καταβῆναι τὰ λεγόμενα. Καθάπερ γὰρ τῶν φυτῶν ὅσαπερ ἂν πρὸς τὸ βάθος παραπέμψῃ τὰς ῥίζας ἄσειστα γίνεται ταῖς τῶν ἀνέμων προσβολαῖς· οὕτω καὶ τῶν νοημάτων ὅσαπερ ἂν ἐν τῷ βάθει μένῃ τῆς διανοίας, οὐ ῥᾳδίως ὑπὸ τῆς τῶν πραγμάτων ἀνασπᾶται ἐπιβουλῆς.

Εἰπέ μοι εἰ λιμῷ τὸν παῖδα τηκόμενον εἶδες, ἆρα ἂν ἠνέσχου περιιδεῖν, ἀλλ' οὐχὶ πάντα ἂν ὑπέμεινας, ὥστε λῦσαι αὐτῷ τὸν λιμόν; Εἶτα λιμῷ μὲν ἄρτου διαφθειρόμενον οὐκ ἂν περιεῖδες, λιμῷ δὲ διδασκαλίας ἀπολλύμενον ἀνέχῃ περιορᾶν; Καὶ πῶς ἄξιος εἶ καλεῖσθαι πατήρ; Καὶ γὰρ οὗτος ἐκείνου χαλεπώτερος ὁ λιμός, ὅσῳ καὶ πρὸς μείζονα τελευτᾷ θάνατον καὶ πλείονα ἐνταῦθα ποιεῖσθαι χρὴ τὴν σπουδήν. « *Ἐκτρέφετε* γὰρ *τὰ τέκνα* | *ὑμῶν*, φησίν, *ἐν παιδείᾳ καὶ νουθε-* col. 101
*σίᾳ Κυρίου*[219]. » Αὕτη πατέρων ἐπιμέλεια, αὕτη κηδεμονία γεγεννηκότων. Οὕτως ἐπιγινώσκω τῆς φύσεως τὴν συγγένειαν, ἐὰν ἐν τοῖς πνευματικοῖς πλείονα ἐπι-

[219] Ep 6, 4

**[Ms. *Va V L (a l. 131,* ἐπιλέ]λησθε*, usque ad l. 185,* γέ[νηται*, et a l. 295,* οὐδέπω*, usque ad l. 349,* ἐ[κείνου*) Y Ha (usque ad l. 22,* προσχήματι*, et a l. 368,* ἀλλαχοῦ*, usque ad l. 427,* τελευτήσαντα*) T G K U (partim) C (partim) $P_3$ (partim)* ]** 103 δὲ ] καὶ *add. G Patr.* || 103 κατέβαλον τὸ ἀργύριον *Va Y T K* ] τὸ ἀργύριον κατέβαλον *G Patr.* μου *add. V* || 103 οὐκ ἔχω λόγον οὐδένα ] λόγον οὐδένα ἔχω *G Patr.* || 104 ὅμως ] καίτοι γε *add. G Patr.* || 104 τῆς *Va V G K* ] *om. Y T* || 107 ἠμελημένως *Va V G K* ] ἀμελῶς *Y T* || 107 τὸν λόγον ] τῶν λόγων *G Patr.*, τῶν πνευματικῶν *add. G Patr.* || 107 εἰκῆ ] καὶ μάτην *add. G Patr.* || 108 γενέσθαι ] γίνεσθαι *Patr.* || 110 ἀπελθεῖν ] οἴκαδε *praem. G Patr.* || 110 μέλει *Y T K Patr.* ] μέλλει *Va V G* || 110 φροντίζω ] φροντίζων $Va^{ac}$ || 111 τὸν τοσοῦτον *Va Y* ] τῶν τοσούτων $V^{pc}$ *T K*, τὸν ὑπὲρ τούτου *G Patr.* || 112 μισθὸν ] μισθῶν $V^{pc}$ *T* || 112 παρὰ *Y T K* ] τὸν *praem. Va V G* || 113 τῷ *Va* $V^{pc}$ $Y^{pc}$ $K^{pc}$ (*al. man.*) ] τὸ $V^{ac}$ $Y^{ac}$ *T G* $K^{ac}$, *om. Patr.* || 114 τοῦτο ] τοῦ *G* || 114 συνεχῶς ] καὶ *praem. G Patr.* || 117 ὅσαπερ $Va^{pc}$ *V T K* ] ὅσοπερ $Va^{ac}$, ὅσῳπερ *Y G Patr.* || 117 ἂν ] *om. V* || 117 μένῃ ] μένει *V* || 119 εἰπέ ] γάρ *add. G Patr.* || 119 μοι ] ἀγαπητὲ *add. G Patr.* || 120 αὐτῷ ] αὐτοῦ *Patr.* || 121 διδασκαλίας ] θείας *praem. G Patr.* || 122 ἄξιος εἶ *Va V Y T* ] ἄξιος εἶναι *G*, ἂν ᾖ ἄξιος $K^{ac}$, ἂν εἴης ἄξιος $K^{pc}$ (*al. man.*), ἄξιος ἂν ᾖς *Front. Patr.* || 123 ὁ λιμός ] *post* οὗτος *transp. G Patr.* || 123 ὅσῳ *Y T G K* ] ὅσον *Va V* || 123 καὶ ] ὅθεν *praem. G Patr.* || 124 ἐκτρέφετε ] ἐκτρέφεται *G* || 124 φησίν *Va V K* ] φησὶ *post* γὰρ *transp. Y T G* || 124 παιδείᾳ ] παιδιᾷ *G* || 125 αὕτη ] καλλίστη *add. G Patr.* || 125 κηδεμονία ] γνησία *praem. G Patr.* || 125 οὕτως *Va Y T K* ] οὕτω *Patr.*, γὰρ ἐγὼ *add. G Patr.* || 126 συγγένειαν *Y T G K* ] εὐγένειαν *Va V* || 126–127 ἐπιδείξῃ ] ἐπιδείξονται $G^{ac}$ (*corr. cum* ω *s. l.*), ἐπιδείξωνται *Patr.*

δείξῃ τὴν σπουδήν. Ἀλλὰ τῶν μὲν προοιμίων ἅλις· ἀνάγκη δὲ λοιπὸν καταβαλεῖν τὸ χρέος· διὰ γὰρ τοῦτο τὸν πολὺν τοῦτον ὑμῖν ἐπεμήκυνα λόγον, ἵνα μετὰ πάσης ὑποδέξησθε τὸ καταβαλλόμενον φυλακῆς.

Τί οὖν ἦν τὸ ὄφλημα ὅπερ ἀνεχωρήσαμεν ὀφείλοντες πρώην; Ἢ καὶ τούτου τάχα ἐπιλέλησθε; Οὐκοῦν ἀνάγκη παρ’ ἡμῶν ὑμᾶς ὑπομνησθῆναι καὶ πρότερον ἀναγνῶναι τὸ γραμματεῖον, δι’ οὗ τὴν προτέραν καταβολὴν ἐποιησάμεθα, καὶ τίνα ἦν τὰ καταβληθέντα εἰπεῖν, ἵνα ἴδωμεν ἐκ τῶν καταβληθέντων τὰ λειπόμενα. Τίνα οὖν ἐστι τὰ καταβληθέντα πρότερον; Εἶπον τίς ἦν ὁ τὸ βιβλίον τῶν Πράξεων γράψας καὶ τίς ὁ πατὴρ τοῦ λόγου τούτου· μᾶλλον δὲ οὐχ ὁ πατὴρ τοῦ λόγου, ἀλλ’ ὁ διάκονος· οὐ γὰρ αὐτὸς ἔτεκε τὰ εἰρημένα, ἀλλ’ αὐτὸς διηκόνησε τοῖς εἰρημένοις. Εἶπον περὶ τῶν « πράξεων » αὐτῶν καὶ τί ποτ’ οὖν βούλεται ἐνδείξασθαι τὸ τῶν « πράξεων » ὄνομα. Εἶπον περὶ τῆς τῶν « ἀποστόλων » προσηγορίας. Ἀνάγκη λοιπὸν εἰπεῖν τίνος ἕνεκεν οἱ πατέρες ἡμῶν ἐν τῇ Πεντηκοστῇ τὸ βιβλίον τῶν Πράξεων ἀναγινώσκεσθαι ἐνομοθέτησαν. Τάχα γὰρ μέμνησθε ὅτι καὶ τοῦτο ὑπεσχόμεθα τότε ἐρεῖν.

Οὐ γὰρ ἁπλῶς οὐδὲ εἰκῇ τοὺς καιροὺς ἡμῖν τούτους παρετήρησαν οἱ πατέρες, ἀλλὰ μετά τινος λόγου πεποιήκασι τοῦτο· οὐχ ἵνα ὑπὸ ἀνάγκην καιρῶν τὴν ἐλευθερίαν ἡμῶν ὑποβάλλωσιν, ἀλλ’ ἵνα τῇ τῶν ἀσθενεστέρων πτωχείᾳ συγκαταβάντες ἐπὶ τὸν πλοῦτον τῆς γνώσεως αὐτοὺς ἀναγάγωσι. Καὶ ὅτι διὰ τοῦτο παρατηροῦσι καιρούς, οὐχ ἑαυτοὺς ὑποβάλλοντες τῇ ἀνάγκῃ τῆς παρατηρήσεως, ἀλλὰ τοῖς ἀσθενεστέροις συγκατιέναι σπουδάζοντες, ἄκουσον τί φησιν ὁ Παῦλος· « *Ἡμέρας παρατηρεῖσθε καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτούς; Φοβοῦμαι μή πως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς*[220]. »

---

[220] Ga 4, 10–11

---

**[Ms. *Va V L (a l. 131,* ἐπιλέ]λησθε*, usque ad l. 185,* γέ[νηται*, et a l. 295,* οὐδέπω*, usque ad l. 349,* ἐ[κείνου*) Y Ha (usque ad l. 22,* προσχήματι*, et a l. 368,* ἀλλαχοῦ*, usque ad l. 427,* τελευτήσαντα*) T G K U (partim) C (partim) P₃ (partim)* ]** 127 ἅλις *Y T K* ] ἀρκετός *Va V*, ἀρκετός ὁ λόγος *G U Patr.* || 127–128 καταβαλεῖν ] καὶ *add. G Patr.* || 128 πολὺν ] μακρὸν καὶ *praem. G Patr.* || 128 τοῦτον ] *om. Y* || 128 ἐπεμήκυνα *Y T K* ] ἀπεμήκυνα *Va V G Patr.* || 129 τὸ καταβαλλόμενον φυλακῆς ] φυλακῆς τὸ καταβαλλόμενον *K* || 130 ἦν ] *om. Patr.* || 130 ἢ ] εἰ *Va V* || 130 τούτου ] τοῦτο *G Patr.* || 132 γραμματεῖον *Va V T G K* ] γραμματίον *L Y* || 132 οὗ ] καὶ *add. G Patr.* || 133–134 λειπόμενα *Va V G K* ] λεγόμενα *L Y T* || 134 εἶπον *Va V T* ] εἰπὼν *L Y K*, ἐκεῖ *add. G Patr.* || 134–135 τῶν πράξεων γράψας ] γράψας τῶν πράξεων *G Patr.* || 137 εἶπον *Va V T G* ] εἰπὼν *L Y K* || 138 εἶπον *Va V T G* ] εἰπὼν *L Y K*, καὶ *add. G Patr.* || 140 ἀναγινώσκεσθαι ] ἀν*γινώσκεσθαι K || 141 ὑπεσχόμεθα ] ἐπεσχόμεθα *Y* || 141 τότε ] *post* τοῦτο *transp. G Patr.* || 142 ἡμῖν τούτους ] τούτους ἡμῖν *K* || 143 λόγου ] σοφοῦ *add. G Patr.* || 143 οὐχ ] οὐδὲ *G* || 143 ἵνα *T K U Patr.* ] *om. Va V L Y G* || 144 ἡμῶν *Va V* ] ὑμῶν *Y T L*, ἡμῖν *G K Patr.* || 144 ὑποβάλλωσιν *V G K* ] ὑποβάλωσιν *Va T Patr.*, ὑποβάλλουσιν *L Y* || 144–145 συγκαταβάντες ] συγκαταβαίνοντες *T* || 146 ὑποβάλλοντες ] *post* παρατηρήσεως *transp. Patr.* || 148 παρατηρεῖσθε *L Y T G K* ] παρατηρεῖσθαι *Va V*, παρατηρεῖτε *Patr.*

Σὺ δὲ οὐ παρατηρεῖς *ἡμέρας* καὶ μῆνας *καὶ καιροὺς* καὶ ἐνιαυτούς; Τί οὖν; Ἂν ἴδωμεν τὸν κωλύοντα παρατηρεῖν *ἡμέρας καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτοὺς* παρατηροῦντα ταῦτα, τί ἐροῦμεν, εἰπέ μοι; Ὅτι μάχεται ἑαυτῷ καὶ φιλονεικεῖ; Μὴ γένοιτο· ἀλλ’ ὅτι τῶν παρατηρούντων τοὺς καιροὺς τὴν ἀσθένειαν ἀνελεῖν βουλόμενος καταβαίνει διὰ τῆς παρατηρήσεως πρὸς ἐκείνους. Οὕτω καὶ ἰατροὶ ποιοῦσι· τῶν σιτίων τῶν διδομένων τοῖς νοσοῦσιν ἀπογεύονται πρότεροι, οὐδὲν αὐτοὶ δεόμενοι τῶν σιτίων, ἀλλὰ τὴν ἐκείνων ἀσθένειαν διορθῶσαι σπουδάζοντες. Οὕτω καὶ ὁ Παῦλος ἐποίησεν· οὐδὲν δεόμενος τῆς παρατηρήσεως τῶν καιρῶν, τοὺς καιροὺς ἐτήρησεν, ἵνα τοὺς παρατηροῦντας ἀπαλλάξῃ τῆς ἀσθενείας τῆς κατὰ τὴν παρατήρησιν. Καὶ ποῦ καιροὺς παρετήρησεν ὁ Παῦλος; Τοῦτο γάρ ἐστι τὸ ζητούμενον· προσέχετε μετὰ ἀκριβείας. « *Τῇ* δὲ *ἐπιούσῃ*, φησί, *κατεπλεύσαμεν εἰς Μίλητον. Κεκρίκει γὰρ παραπλεῦσαι τὴν Ἔφεσον, ὅπως μὴ γένηται αὐτῷ χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ. Ἔσπευδε γάρ, εἰ δυνατὸν ἦν αὐτῷ, τὴν ἡμέραν τῆς Πεντηκοστῆς γενέσθαι εἰς Ἱεροσόλυμα*[221]. » Εἶδες πῶς ὁ λέγων· « *ἡμέρας παρατηρεῖσθε καὶ μῆνας καὶ καιροὺς* », τὴν ἡμέραν τῆς Πεντηκοστῆς παρετήρει; |

**δ’**. Καὶ οὐχὶ δὲ ἡμέραν παρετήρει μόνον, ἀλλὰ καὶ τόπον· οὐ γὰρ μόνον τὴν col. 102
ἡμέραν τῆς Πεντηκοστῆς ἔσπευδε ποιῆσαι, ἀλλὰ καὶ ἐν Ἱεροσολύμοις αὐτὴν ἐπιτελέσαι. Τί τοῦτο, ὦ μακάριε Παῦλε; Κατελύθη τὰ ἱεροσόλυμα, ἠρημώθη τὰ Ἅγια τῶν ἁγίων τῇ τοῦ Θεοῦ ψήφῳ, ἐλύθη ἡ πολιτεία ἡ προτέρα. Σὺ πρὸς Γαλάτας βοᾷς λέγων ὅτι « *οἵτινες ἐν νόμῳ* δικαιοῦσθε, *τῆς χάριτος ἐξεπέσατε*[222] »· τί πάλιν ἡμᾶς πρὸς τὴν δουλείαν ἄγεις τοῦ νόμου; Οὐκ ἔστι μικρὸν τὸ προκείμενον, μαθεῖν εἰ μὴ μάχεται ἑαυτῷ ὁ Παῦλος.

Οὐδὲ γὰρ ἡμέρας παρατηρεῖ μόνον, ἀλλὰ καὶ ἄλλα φυλάττει νομικὰ παραγγέλματα. Καὶ βοῶν καὶ λέγων τοῖς Γαλάταις ὅτι « *Ἰδοὺ ἐγὼ Παῦλος λέγω ὑμῖν ὅτι*

---

[221] Ac 20, 15–16
[222] Ga 5, 4

---

**[Ms. *Va V L (a l. 131,* ἐπιλέ]λησθε, *usque ad l. 185,* γέ[νηται, *et a l. 295,* οὐδέπω, *usque ad l. 349,* ἐ[κείνου*) Y Ha (usque ad l. 22,* προσχήματι, *et a l. 368,* ἀλλαχοῦ, *usque ad l. 427,* τελευτήσαντα*) T G K U (partim) C (partim) $P_3$ (partim)* ]** 150 *καὶ μῆνας* ] *om. Patr.* || 150 τί οὖν ] λοιπὸν *G* || 150 ἂν *Va V L Y T* ] ἐὰν *G*, εἰ *K Patr.* || 154 καταβαίνει ] συγκαταβαίνει *G Patr.* || 155 πρότεροι *L Y T K* ] πρότερον *Va V G Patr.* || 155 οὐδὲν ] οὐκ *G Patr.* || 157 ὁ ] *om. G* || 159 καιροὺς παρετήρησεν ] παρετήρησε καιροὺς *G Patr.* || 159–160 τοῦτο – ζητούμενον ] *om. G Patr.* || 160 προσέχετε ] πρόσεχε *L Y* || 160 ἀκριβείας ] παρακαλῶ *add. G Patr.* || 160 δὲ ] *om. K* || 161 μίλητον ] μήλητον *G* || 161 παραπλεῦσαι *Va V L Y T* ] ὁ παῦλος *praem. G Patr.*, αὐτῷ *praem. K* || 162 χρονοτριβῆσαι *L Y T G K* ] χρονοτριβηθῆναι *Va V* || 162 αὐτῷ *Va V T G Patr.* ] αὐτὸν *L Y*, *om. K* || 163–164 παρατηρεῖσθε *T K* ] παρατηρεῖσθαι *Va V L Y*, μὴ *praem. G Patr.* || 164 καιροὺς ] καὶ ἐνιαυτοὺς *add. K et eras.* καὶ || 165 **δ’**. οὐχὶ ] οὐ *G Patr.* || 165 δὲ *L Y T K* ] δὴ *Va V*, *om. G Patr.* || 165 μόνον ] *ante* ἡμέραν *transp. G Patr.* || 167 τοῦτο ] ποιεῖς *add. G Patr.* || 167 κατελύθη τὰ ἱεροσόλυμα ] τὰ ἱεροσόλυμα κατελύθη *G Patr.* || 168 ἐλύθη ] *post* προτέρα *transp. G Patr.* || 169 ὅτι οἵτινες ] οἱ *G Patr.* || 169 δικαιοῦσθε ] δικαιοῦσθαι *G Patr.*, προσδοκῶντες *add. G Patr.* || 169 ἐξεπέσατε *Va V G K* ] ἐξεπέσετε *L Y T* || 170 τί ] καὶ *praem. G Patr.* || 170–171 προκείμενον *T K* ] κινούμενον *Va V G U Patr.*, κείμενον *L Y* || 171 μὴ ] *om. G Patr.* || 172 παρατηρεῖ μόνον *L* ] παρετήρει μόνον *Va V Y T K*, μόνον παρατηρεῖ ὁ παῦλος *G Patr.* || 172 ἄλλα ] *om. L* || 173 βοῶν καὶ ] βοᾷ *G Patr.* || 173 ὅτι ] *om. G Patr.* || 173 ὅτι ] *om. K*

*ἐὰν περιτέμνησθε Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει*[223] », φαίνεται αὐτὸς περιτέμνων τὸν Τιμόθεον. Εὑρὼν γάρ, φησίν, ἐν Λύστροις *τινὰ νεανίσκον, υἱὸν Ἰουδαίας γυναικὸς πιστῆς, πατρὸς δὲ Ἕλληνος*[224], *περιέτεμεν αὐτόν*[225]· οὐκ ἐβούλετο γὰρ ἀκρόβυστον πέμψαι διδάσκαλον. « Τί τοῦτο, ὦ Παῦλε; Ἀναιρεῖς τῷ λόγῳ τὴν περιτομὴν καὶ βεβαιοῖς τῷ ἔργῳ πάλιν; » « Οὐ βεβαιῶ, φησίν, ἀλλ' ἀναιρῶ διὰ τῶν ἔργων. » Καὶ γὰρ *υἱὸς ἦν γυναικὸς Ἰουδαίας πιστῆς* ὁ *Τιμόθεος, πατρὸς δὲ Ἕλληνος*[226]· οὐκοῦν εἰ *πατρὸς ἕλληνος*, ἀκροβύστου γένος. Ἐπεὶ οὖν ἔμελλεν αὐτὸν προπέμπειν τοῖς Ἰουδαίοις διδάσκαλον, οὐκ ἐβούλετο ἀκρόβυστον πέμψαι διδάσκαλον, ἵνα μὴ εὐθέως ἀπὸ τῶν προοιμίων ἀποκλείσῃ τὰς θύρας τῷ λόγῳ. Προοδοποιῶν τοίνυν τῇ ἀναιρέσει τῆς περιτομῆς καὶ ἀνοίγων ὁδὸν τῇ διδασκαλίᾳ τοῦ Τιμοθέου περιέθηκεν αὐτῷ περιτομήν, ἵνα ἀνέλῃ περιτομήν. Διὰ τοῦτό φησιν· « *Ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος*[227] », οὐχ ἵνα Ἰουδαῖος γένηται, ἀλλ' ἵνα τοὺς μένοντας Ἰουδαίους πείσῃ μηκέτι εἶναι Ἰουδαίους· διὰ τοῦτο καὶ τοῦτον περιέτεμεν, ἵνα ἀνέλῃ περιτομήν. Τῇ περιτομῇ κατὰ τῆς περιτομῆς ἐχρήσατο. Ἔλαβε γὰρ περιτομὴν ὁ Τιμόθεος, ἵνα δυνηθῇ παραδεχθῆναι ὑπὸ τῶν Ἰουδαίων καὶ εἰσελθὼν κατὰ μικρὸν ἐξελκύσῃ ταύτης αὐτοὺς τῆς παρατηρήσεως. Εἶδες τίνος ἕνεκεν καὶ Πεντηκοστὴν καὶ περιτομὴν ἐτήρησεν;

Βούλεσθε καὶ ἄλλα δείξω νόμιμα τηροῦντα αὐτόν; Ἀνῆλθεν εἰς Ἱεροσόλυμα, καὶ ἰδόντες αὐτὸν οἱ ἀπόστολοι ἔλεγον· « *Θεωρεῖς, ἀδελφέ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων* τῶν συνεληλυθότων *καὶ οὗτοι πάντες κατήχηνται περὶ σοῦ ὅτι ἀποστασίαν ἀπὸ* τοῦ νόμου *διδάσκεις. Τί οὖν; Ποίησον ὅ σοι λέγομεν. Εἰσὶ παρ' ἡμῖν ἄνδρες εὐχὴν ἔχοντες ἐν ἑαυτοῖς· τούτους λαβὼν ἁγνίσθητι σὺν αὐτοῖς καὶ* ξύρησαι μετ'

[223] Ga 5, 2
[224] Ac 16, 1
[225] Ac 16, 3
[226] Ac 16, 1
[227] 1 Co 9, 20

**[Ms. *Va V L (a l. 131,* ἐπιλέ]λησθε, *usque ad l. 185,* γέ[νηται, *et a l. 295,* οὐδέπω, *usque ad l. 349,* ἐ[κείνου*) Y Ha (usque ad l. 22,* προσχήματι, *et a l. 368,* ἀλλαχοῦ, *usque ad l. 427,* τελευτήσαντα*) T G K U (partim) C (partim) $P_3$ (partim)* ]** 174 ὠφελήσει ] οὕτος τοίνυν ὁ παῦλος ὁ λέγων ὅτι ἐὰν περιτέμνησθε χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει *add. G Patr.* || 175 φησίν *Va V Y T K* ] *om. L,* ὁ παῦλος *add. G Patr.* || 175 νεανίσκον *Va V L Y T G* ] νεανίαν *K U Patr.* || 177 πέμψαι *Va V L Y T G* ] πέμπειν *K U Patr.* || 177 τοῦτο ] ποιεῖς *add. G Patr.* || 177 παῦλε ] μακάριε *add. G K U Patr.* || 178 τῷ ἔργῳ ] τὸ ἔργον *G* || 179 ἔργων ] ἔργ** *G* || 179 ἦν γυναικὸς ] γυναικὸς ἦν *G Patr.* || 179 πιστῆς ] *om. Va* || 180 οὐκοῦν – ἕλληνος L Y T K U ] *om. Va V G Patr.* || 180 ἀκροβύστου ] ἦν *add. L,* δὲ *add. G Patr.* || 180 γένος *Va V L* ] γένους *G K Patr.* || 181 αὐτὸν ] ὁ παῦλος *add. G Patr.* || 181 προπέμπειν *V L Y T G Patr.* ] πέμπειν *Va K U* || 181–182 οὐκ – διδάσκαλον ] *om. T* || 181 ἐβούλετο ] δὲ *add. G Patr.* || 182 διδάσκαλον *Va V L Y* ] *om. G K Patr.* || 185 γένηται ] τοῦτο εἴρηκεν ὁ παῦλος *add. G Patr.* || 186 μένοντας ] ὄντας *T* || 187 περιτομήν ] τὴν *praem. G Patr.* || 187 περιτομῇ ] τοίνυν *add. G Patr.* || 188 περιτομὴν ] καὶ *add. G Patr.* || 188 παραδεχθῆναι ] παραδεχθῆν *G* || 189 ἐξελκύσῃ ] ἐξέλῃ *T* || 190 ἐτήρησεν ] ὁ παῦλος *add. G Patr.* || 191 ἄλλα ] ὑμῖν *add. G Patr.* || 191 δείξω νόμιμα *Va* ] δείξω νόμημα *V,* δείξω νοήματα *Y,* ὑποδείξω νόμιμα *G,* νόμιμα δείξω *K,* νομήμα δείξω *U,* ἀποδείξω νόμιμα *Patr.* || 191 τηροῦντα αὐτόν ] αὐτὸν τηροῦντα *K* || 191 Ἀνῆλθεν ] προσέχετε ἀκριβῶς· ἀνῆλθέ ποτε *G Patr.* || 192 ἔλεγον ] αὐτῷ *add. G Patr.* || 192 ἀδελφέ ] παῦλε *add. G Patr.* || 194 ὅ σοι *Y T K U Patr.* ] ὡς σοι *Va V G* || 195 ξύρησαι ] τὴν κεφαλὴν *add. G Patr.*

αὐτῶν, ἵνα ἔργῳ πιστωθῶσιν *ὅτι ὧν κατήχηνται περὶ σοῦ οὐδέν ἐστιν ἀλλὰ* τηρεῖς καὶ *αὐτὸς τὸν νόμον* τοῦ Μωϋσέως[228]. » Εἶδες συγκατάβασιν θαυμασίαν; Καιροὺς παρατηρεῖ, ἵνα ἀνέλῃ καιρῶν παρατήρησιν· περιτομὴν περιτίθησιν, ἵνα παύσῃ περιτομήν· θυσίας προσάγει, ἵνα καθέλῃ τὴν παρατήρησιν τῶν θυσιῶν.

Καὶ ὅτι διὰ τοῦτο τοῦτο ἐποίει, ἄκουσον αὐτοῦ λέγοντος· « *Ἐγενόμην τοῖς ὑπὸ νόμον, ὡς ὑπὸ νόμον.* » « Διὰ τί ; » « *Ἵνα τοὺς ὑπὸ νόμον κερδήσω*[229], καὶ *ἐλεύθερος ὢν ἐκ πάντων* | *πᾶσιν ἐμαυτὸν ἐδούλωσα*[230]. » Ἐποίει δὲ ταῦτα μιμούμενος τὸν col. 103 ἑαυτοῦ Δεσπότην. Καθάπερ γὰρ αὐτὸς *ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν*[231] καὶ *ἐλεύθερος ὢν* δοῦλος *ἐγένετο*· οὕτω καὶ οὗτος *ἐλεύθερος ὢν ἐκ πάντων πᾶσιν ἑαυτὸν ἐδούλωσεν*[232], ὥστε πάντας κερδᾶναι. Δοῦλος ἐγένετο τὴν φύσιν τὴν ἡμετέραν ἀναλαβὼν ὁ Δεσπότης, ἵνα τοὺς δούλους ἐλευθέρους ποιήσῃ· *Ἔκλινεν οὐρανοὺς καὶ κατέβη*[233], ἵνα τοὺς κάτω μένοντας ἀναγάγῃ. *Ἔκλινεν οὐρανούς.* Οὐκ εἶπε· « Κατέλιπεν *οὐρανούς.* » *Καὶ κατέβη* εὐκολωτέραν σοι τὴν ἄνοδον ποιῶν τὴν εἰς τοὺς οὐρανούς. Τοῦτον καὶ ὁ Παῦλος ἐμιμήσατο κατὰ δύναμιν, διὸ καὶ ἔλεγε· « *Μιμηταί μου γίνεσθε καθὼς κἀγὼ Χριστοῦ*[234]. » « Καὶ πῶς σὺ γίνῃ Χριστοῦ μιμητής ; » « Οὐ *ζητῶ τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσιν*[235]· *ἐλεύθερος* γὰρ *ὢν ἐκ πάντων πᾶσιν ἐμαυτὸν ἐδούλωσα*[236]. » Οὐδὲν ταύτης τῆς δουλείας βέλτιον· ἐλευθερίας γὰρ ἑτέροις αἰτία γίνεται. Ἁλιεὺς ἦν πνευματικὸς ὁ Παῦλος· « *Ποιήσω* γὰρ *ὑμᾶς*, φησίν, *ἁλιεῖς ἀνθρώπων*[237] »· διὰ τοῦτο ταῦτα ἐποίει.

[228] Ac 21, 20–24
[229] 1 Co 9, 20
[230] 1 Co 9, 19
[231] Ph 2, 6–7
[232] 1 Co 9, 19
[233] Ps 18 (17), 10
[234] 1 Co 11, 1
[235] 1 Co 10, 33
[236] 1 Co 9, 19
[237] Mt 4, 19

**[Ms. *Va V L (a l. 131,* ἐπιλέ]λησθε, *usque ad l. 185,* γέ[νηται, *et a l. 295,* οὐδέπω, *usque ad l. 349,* ἐ[κείνου*) Y Ha (usque ad l. 22,* προσχήματι, *et a l. 368,* ἀλλαχοῦ, *usque ad l. 427,* τελευτήσαντα*) T G K U (partim) C (partim)* $P_3$ *(partim)* ]** 196 ἐστιν ] εἰσιν *T* || 197 τοῦ *Y T G Patr.* ] τὸν *Va V, om. K U* || 197 μωϋσέως *V Y K U Patr.* ] μωσέως *Va T G* || 197 εἶδες ] εἴδετε *G Patr.* || 199 θυσίας *Va V Y K U* ] θυσίαν *T G Patr.* || 199 προσάγει ] προσάγῃ *G* || 200 τοῦτο ] ταῦτα *G Patr.* || 200 λέγοντος ] ταῦτα *praem. G* (τα *s. l. scr. ead. man.*) || 201 ὡς ὑπὸ νόμον *Y T G K* ] *om. Va V* || 201 διὰ τί ] *om. G Patr.* || 202 μιμούμενος ] ὁ παῦλος *praem. G Patr.* || 204 τὸ *T G U* ] τῷ $Va^{pc}$ *V Y, add. al. man. K* || 205 ἐγένετο ] γέγονεν *G Patr.* || 208 ἀναγάγῃ ] εἰς οὐρανόν *add. G Patr.* || 209 κατέβη ] ἀλλ' ἔκλινεν *add. G Patr.* || 210 ὁ ] *om. K* || 210 δύναμιν ] τὴν αὐτοῦ *add. K* || 211 σὺ ] ὦ μακάριε παῦλε τοῦ *add. G Patr.* || 211–212 γίνῃ χριστοῦ *Va V K* ] χριστοῦ γίνῃ *Y T,* χριστοῦ ἐγένου *G Patr.* || 212 μιμητής ] πῶς ἐπειδὴ *add. G Patr.* || 212 οὐ ] οὐδαμοῦ *G Patr.* || 212 ζητῶ ] φησι *add. K* || 212 ἵνα ] ὅπως *G Patr.* || 213 ἐλεύθερος ] καὶ *praem. G Patr.* || 213 γὰρ ] *om. G Patr.* || 213 οὐδὲν ] τοίνυν *add. G Patr.* || 215 ὑμᾶς φησίν ] φησιν ὑμᾶς *T* || 216 ταῦτα ] καὶ *praem. G Patr.* || 216 ἐποίει ] ποιεῖ *T*

Καὶ γὰρ οἱ ἁλιεῖς, ἐπειδὰν ἴδωσι τὸν ἰχθὺν καταπιόντα τὸ ἄγκιστρον, οὐκ εὐθέως ἀνθέλκουσιν, ἀλλ’ ἐνδιδόντες μέχρι πολλοῦ διαστήματος ἀκολουθοῦσιν ἀναμένοντες ἐμπαρῆναι τὸ ἄγκιστρον καλῶς, ἵνα οὕτω μετὰ ἀσφαλείας τὴν θήραν ἑλκύσωσιν. Οὕτω καὶ οἱ ἀπόστολοι τότε ἐποίουν· ἐνέβαλλον τὸ ἄγκιστρον τῆς διδασκαλίας τοῦ λόγου τῇ ψυχῇ τῇ Ἰουδαϊκῇ, οἱ δὲ ἀνθεῖλκον ἐκεῖ καὶ κατέσχον εἰς περιτομὴν ἑαυτοὺς ἄγοντες, εἰς ἑορτὰς, εἰς καιρῶν παρατήρησιν, εἰς θυσίας, εἰς τὸ ξυρᾶσθαι καὶ ἕτερα τοιαῦτα ποιεῖν. Τί οὖν οἱ ἀπόστολοι ; Πανταχοῦ ἠκολούθουν αὐτοῖς καὶ οὐκ ἀνθεῖλκον· « Ἀλλὰ κἂν περιτομὴν ζητῇς, φησίν, οὐκ ἀντιτείνω, ἀλλ’ ἕπομαι· κἂν θυσίαν αἰτῇς, θύω· κἂν ξυρᾶσθαι βουληθῇς ἐμὲ τὸν ἀποστάντα τῆς σῆς πολιτείας, πάρειμι καὶ ποιῶ τὸ κελευόμενον· κἂν Πεντηκοστὴν κελεύῃς παρατηρῆσαί με, οὐδὲ ἐνταῦθα φιλονεικῶ, ἀλλ’ ὅπουπερ ἂν περιάγῃς, ἀκολουθῶ καὶ ἐνδίδωμι ἐμπαγῆναί σοι ἀναμένων τοῦ λόγου τὸ ἄγκιστρον, ὥστε δυνηθῆναι μετὰ ἀσφαλείας ἅπαν ὑμῶν ἐξελκύσαι τὸ ἔθνος τῆς παλαιᾶς πολιτείας. Διὰ τοῦτο ἀπὸ Ἐφέσου εἰς Ἱεροσόλυμα ἦλθον[238]. »

Ὁρᾷς πόσον παρηκολούθησε τῇ ἁλείᾳ τῶν ἰχθύων ἐνδιδοὺς τῷ λόγῳ; Ὁρᾷς ὅτι ἡ παρατήρησις τῶν καιρῶν καὶ ἡ συγκατάβασις τῆς περιτομῆς καὶ ἡ κοινωνία τῶν θυσιῶν ἐγίνετο, οὐχ ἵνα αὐτοὶ πρὸς τὴν παλαιὰν ἐπανέλθωσι πολιτείαν, ἀλλ’ ἵνα ἐκείνοις τοῖς τύποις παρακαθημένους πρὸς τὴν ἀλήθειαν ἐπαναγάγωσιν; Ὁ γὰρ ἐν ὕψει καθήμενος, ἐὰν διαπαντὸς ἐπὶ τοῦ ὕψους μένῃ, οὐδέποτε δυνήσεται τὸν κάτω κείμενον ἀναγαγεῖν, ἀλλὰ δεῖ πρότερον ἐκεῖνον ταπεινωθῆναι καὶ τότε τοῦτον ὑψωθῆναι[239]. Διὰ τοῦτο κατέβησαν οἱ ἀπόστολοι ἀπὸ τοῦ ὕψους τῆς πολιτείας τῆς ἀγγελικῆς, ἵνα ἀπὸ τῆς ταπεινότητος τῆς πολιτείας τῆς Ἰουδαϊκῆς ἀναγάγωσιν εἰς τὸ ὕψος ἐκεῖνο τοὺς Ἰουδαίους.

**ε’.** Ἀλλ’ ὅτι μὲν τῶν καιρῶν ἡ παρατήρησις καὶ τὰ λοιπὰ πάντα χρησίμως καὶ συμφερόντως ἐγένετο, ἀπὸ τούτων δῆλον· ἴδωμεν δὲ λοιπὸν τίνος ἕνεκεν τὸ | col. 104
βιβλίον τῶν Πράξεων τῶν ἀποστόλων ἐν τῷ καιρῷ τῆς Πεντηκοστῆς ἀναγινώσ-

[238] cf. Ac 20, 15–16

[239] cf. Mt 23, 12 ; Lc 14, 11

**[Ms. *Va V L (a l. 131,* ἐπιλέ]λησθε, *usque ad l. 185,* γέ[νηται, *et a l. 295,* οὐδέπω, *usque ad l. 349,* ἐ[κείνου*) Y Ha (usque ad l. 22,* προσχήματι, *et a l. 368,* ἀλλαχοῦ, *usque ad l. 427,* τελευτήσαντα*) T G K U (partim) C (partim) $P_3$ (partim)* ]** 217 γὰρ *Va V Y T G K U* ] καὶ *add. Front. Patr.* || 217 οἱ ] *om. T* || 218 ἀνθέλκουσιν ] ἀνέλκουσιν *T* || 219 ἐμπαρῆναι ] ἐμπαγῆναι *Patr.* || 219 ἵνα οὕτω ] οὕτω *Va*, ὅπως *V* || 220 ἐνέβαλλον *Va Y G K* ] ἐνέβαλον *V T* || 221 τῇ ] *om. Patr.* || 221 ἐκεῖ ] εἰκῇ *G Patr.* || 222 κατέσχον ] οὐ *praem. G* || 223 τί οὖν ] *om. G Patr.* || 223 ] δὲ *praem. Front. Patr.* || 224 ἀλλὰ ] ὥστε *G Patr.* || 224 ζητῇς ] ζητεῖς *K* || 227 κελεύῃς *Y T K Patr.* ] κελεύσῃς *Va V*, κελεύεις *G* || 228 ἀναμένων *Va V Y T $K^{pc}$ Patr.* ] ἀναμέσον *G*, ἀνάμενον *$K^{ac}$* || 229 ἄγκιστρον ] τῆς εὐσεβείας *add. G* || 229 ἔθνος *Y T G K* ] ἔθος *Va V* || 230 παλαιᾶς ] λατρείας καὶ *add. G Patr.* || 230 τοῦτο ] γὰρ καὶ *add. G Patr.* || 231 παρηκολούθησε ] παρηκολούθησεν *$T^{ac}$ G Patr.*, ὁ παῦλος *add. G Patr.* || 231 ἁλείᾳ *Y T $K^{pc}$ Patr.* ] ἁλίᾳ *Va V $K^{ac}$*, ἀληθείᾳ *G* || 231 ὁρᾷς ] δὲ πάλιν *add. G* || 233 ἐγίνετο *Va V K* ] ἐγένετο *Y T*, διὰ τοῦτο *praem. G Patr.* || 234 ἐκείνοις ] ἐκείνους *G Patr.* || 234 παρακαθημένους ] παρακαθημένου *Va V Y G*, τοὺς *praem. T K* || 237 τοῦτον ὑψωθῆναι ] ὑψωθῆναι τοῦτον *T* || 238 ἀγγελικῆς *Va V Y G* ] εὐαγγελικῆς *T K Patr.* || 238 τῆς πολιτείας ] *om. K* || 240 ἡ *Va V Y T* ] *post* μὲν *transp. G Patr., om. K* || 241 ἐγένετο *Va V* ] ἐγένοντο *G*, ἐγίνετο *Y T K*, ἐγίνοντο *Patr.*

κεται. Διὰ γὰρ τοῦτο ταῦτα πάντα ἐκινήσαμεν, ἵνα, ὅταν ἴδητε καιρῶν παρατήρησιν ἐγκειμένην, μὴ νομίσητε πολιτείαν νοσεῖν Ἰουδαϊκὴν τοὺς ἀποστόλους. Ἀλλὰ προσέχετε μετὰ ἀκριβείας· οὐ γὰρ μικρόν ἐστι τὸ μέλλον ῥηθήσεσθαι. Ἐν τῇ ἡμέρᾳ τοῦ σταυροῦ τὰ περὶ τοῦ σταυροῦ πάντα ἀνέγνωμεν· ἀναγινώσκομεν ἐν τῷ σαββάτῳ τῷ μεγάλῳ ὅτι παρεδόθη ἡμῶν ὁ Κύριος, ὅτι ἐσταυρώθη, ὅτι ἀπέθανε τὸ κατὰ σάρκα, ὅτι ἐτάφη· τίνος οὖν ἕνεκεν καὶ τὰς Πράξεις τῶν ἀποστόλων οὐ μετὰ τὴν Πεντηκοστὴν ἀναγινώσκομεν, ὅτε καὶ ἐγένοντο καὶ ἀρχὴν ἔλαβον; Καὶ οἶδα μὲν ὅτι πολλοὶ τοῦτο ἀγνοοῦσι· διόπερ ἀπὸ τοῦ βιβλίου τῶν Πράξεων αὐτὸ πιστώσασθαι ἀναγκαῖον, ἵνα μάθητε, ὅτι τὴν ἀρχὴν τῶν Πράξεων τῶν ἀποστολικῶν οὐχ ἡ Πεντηκοστὴ ἔχει, ἀλλ᾽ ὁ καιρὸς ὁ μετὰ τὴν Πεντηκοστήν. Διὸ καὶ δικαίως ἄν τις ζητήσειε τί δήποτε τὸν μὲν σταυρὸν τῇ ἡμέρᾳ τοῦ σταυροῦ καὶ τοῦ πάθους ἀναγινώσκειν νενομοθέτηται, τὰς δὲ Πράξεις τὰς ἀποστολικὰς οὐ τῇ ἡμέρᾳ ἀναγινώσκομεν οὐδὲ τῷ καιρῷ καθ᾽ ὃν ἐπράχθησαν, ἀλλὰ προφθάνομεν τὸν καιρόν.

Οὐδὲ γὰρ εὐθέως ὅτε ἀνέστη ὁ Χριστὸς, θαύματα ἐποίουν οἱ ἀπόστολοι, ἀλλὰ τεσσαράκοντα ἡμέρας αὐτοῖς συνεγίνετο ἐπὶ τῆς γῆς. Καὶ τίνος ἕνεκεν τὰς τεσσαράκοντα ἡμέρας αὐτοῖς συνεγένετο ἐπὶ τῆς γῆς ἐν ἑτέρῳ καιρῷ δηλώσομεν· τέως δὲ ἐπὶ τὸ προκείμενον ἴωμεν, δεικνύντες ὅτι οὐκ εὐθέως εἰς τὸν οὐρανὸν ἀνέβη μετὰ τὴν ἀνάστασιν ὁ Χριστός, ἀλλὰ τεσσαράκοντα ἡμέρας ἐπὶ τῆς γῆς διέτριψε μετὰ τῶν μαθητῶν, καὶ οὐχ ἁπλῶς διέτριψεν, ἀλλὰ καὶ συναλιζόμενος καὶ τραπέζης κοινωνῶν, καὶ μετὰ τὰς τεσσαράκοντα ἀνῆλθεν, καὶ οὐδὲ τότε ἐθαυματούργουν, ἀλλ᾽ ἕτεραι δέκα ἐγένοντο ἡμέραι, καὶ πληρουμένης τῆς Πεντηκοστῆς ἐπέμφθη τὸ ἅγιον πνεῦμα, καὶ τότε λαβόντες τὰς γλώσσας τὰς πυρίνας ἤρξαντο ποιεῖν θαύματα. Καὶ ταῦτα πάντα ἀπὸ τῶν Γραφῶν πιστωσώμεθα, οἷον ὅτι τεσσαράκοντα ἡμέρας αὐτοῖς συνεγένετο, ὅτι μετὰ τὴν Πεντηκοστὴν τὸ Πνεῦμα κατῆλθεν, ὅτι τότε τὰς γλώσσας ἔλαβον τὰς πυρίνας, ὅτι τῶν σημείων ἤρξαντο τότε. Τίς οὖν ταῦτα πάντα φησίν; Ὁ τοῦ Παύλου μαθητὴς ὁ Λουκᾶς

---

**[Ms. *Va V L (a l. 131,* ἐπιλέ]λησθε, *usque ad l. 185,* γέ[νηται, *et a l. 295,* οὐδέπω, *usque ad l. 349,* ἐ[κείνου*) Y Ha (usque ad l. 22,* προσχήματι, *et a l. 368,* ἀλλαχοῦ, *usque ad l. 427,* τελευτήσαντα*) T G K U (partim) C (partim)* $P_3$ *(partim)* ]** 243 ἵνα ] ἵν᾽ *G Patr.* || 245 ἀκριβείας ] παρακαλῶ *add. G Patr.* || 245 ἐστι ] ζήτημα *add. G Patr.* || 246 ἀνέγνωμεν ] *om. G Patr.* || 247 μεγάλῳ ] πάλιν *add. G Patr.* || 248 τὸ *Y T G* $K^{pc}$ ] τῷ *Va V* $K^{ac}$ || 253 καὶ *Y G K* ] *om. Va V T* || 253 σταυρὸν ] περὶ τὸν *praem. T* || 253 τῇ ] ἐν *praem. G Patr.* || 255 οὐ ] οὐκ *G Patr.* || 255 τῇ ἡμέρᾳ ] αὐταῖς ταῖς ἡμέραις *G Patr.* || 257 οὐδὲ *Y T G K* ] οὔτε *Va V* || 257 ὁ ] *om. Patr.* || 258 συνεγίνετο *Va* $V^{ac}$ *Y T K* ] συνεγένετο $V^{pc}$, συνηλίζετο *G Patr.* || 258–259 καὶ – γῆς ] *add. in marg. V* || 258 καὶ ] *om. G Patr.* || 258 τίνος ] δὲ add. G Patr. || 259 συνεγένετο *Va V K Patr.* ] συνεγίνετο *Y T G* || 259 ἐν *Y T G K* ] *om. Va V* || 260 ἴωμεν ] τοῦ λόγου *add. G Patr.* || 262 καὶ *Y T G K* ] *om. Va V* || 262 συναλιζόμενος ] αὐτοῖς *add. G* || 263 κοινωνῶν ] καὶ ὁμιλίας μεταδιδοὺς *add. G Patr.* || 263 τεσσαράκοντα ] ἡμέρας *add. G Patr.* || 263 ἀνῆλθεν ] πρὸς τὸν πατέρα ἐν τοῖς οὐρανοῖς *add. G Patr.* || 263 οὐδὲ τότε ] οὐδέποτε *G* || 264 ἐγένοντο ] ἐγίνοντο *T Patr.* || 265 ἐπέμφθη ] αὐτοῖς *add. G Patr.* || 265 ἅγιον πνεῦμα ] πνεῦμα τὸ ἅγιον *G Patr.* || 265–266 γλώσσας τὰς πυρίνας ] πυρίνας γλώσσας *G Patr.* || 266 καὶ ταῦτα ] ταῦτα δὲ *G Patr.* || 266 πάντα ] ἀγαπητοὶ *add. G Patr.* || 266 γραφῶν ] θείων *praem. G* || 266 πιστωσώμεθα *Y T K U* ] πιστωσόμεθα *Va V G* || 267 συνεγένετο ] συνεγίνετο *T* || 268 πνεῦμα ] τὸ ἅγιον *add. G Patr.* || 268 κατῆλθεν ] κατῆλθε *post* πεντηκοστὴν *transp. G Patr.* || 269 ἤρξαντο τότε ] ἔκτοτε ἤρξαντο *G Patr.* || 269 ὁ ] *om. K* || 269 λουκᾶς ] τίμιος καὶ μέγας *praem. G Patr.*

οὕτω λέγων· « *Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν, ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ Πνεύματος ἁγίου οὓς ἐξελέξατο ἀνελήφθη· οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτὸν ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ· καὶ συναλιζόμενος παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι*[240]. » Ὁρᾷς ὅτι τεσσαράκοντα ἡμέρας ἐπὶ τῆς γῆς ἦν *λέγων περὶ τῆς βασιλείας τοῦ Θεοῦ καὶ συναλιζόμενος*; Ὁρᾷς ὅτι καὶ τραπέζης αὐτοῖς ἐκοινώνει; « Καὶ *παρήγγειλεν ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ "περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρὸς ἣν ἠκούσατέ μου, φησίν, ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτι|σθήσεσθε ἐν Πνεύματι ἁγίῳ οὐ μετὰ* col. 105
*πολλὰς ταύτας ἡμέρας"*[241]. » Ταῦτά, φησιν, ἔλεγεν ἐν ταῖς τεσσαράκοντα ἡμέραις· « *Οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων αὐτόν· "Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ;" Εἶπε δὲ πρὸς αὐτούς· "Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ, ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς, καὶ ἔσεσθέ μοι μάρτυρες ἐν τε Ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ." Καὶ ταῦτα εἰπὼν βλεπόντων αὐτῶν ἐπήρθη καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν*[242]. » Εἶδες πῶς καὶ τεσσαράκοντα ἡμέρας αὐτοῖς συνεγένετο ἐπὶ τῆς γῆς καὶ μετὰ τὰς τεσσαράκοντα ἡμέρας τότε ἀνελήφθη ;

Ἀλλ' ἴδωμεν εἰ ἐν τῇ Πεντηκοστῇ τὸ Πνεῦμα κατεπέμφθη τὸ ἅγιον. *Καὶ ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς ἐγένετο ἄφνω ἦχος ἐκ τοῦ οὐρανοῦ ὡσεὶ φερομένης πνοῆς βιαίας καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν*[243]. Εἴδετε ἀκριβῆ τὴν ἀπόδειξιν γεγενημένην, οἷον ὅτι τεσσαράκοντα ἡμέρας ἦν ἐπὶ τῆς γῆς καὶ οὐδὲν ἐθαυματούργουν οἱ ἀπόστολοι; Πῶς γὰρ ἔμελλον θαυματουργεῖν τὴν τοῦ Πνεύματος χάριν

[240] Ac 1, 1–4
[241] Ac 1, 4–5
[242] Ac 1, 6–9
[243] Ac 2, 1–3

**[Ms. *Va V L (a l. 131,* ἐπιλέ]λησθε*, usque ad l. 185,* γέ[νηται*, et a l. 295,* οὐδέπω*, usque ad l. 349,* ἐ[κείνου*) Y Ha (usque ad l. 22,* προσχήματι*, et a l. 368,* ἀλλαχοῦ*, usque ad l. 427,* τελευτήσαντα*) T G K U (partim) C (partim) $P_3$ (partim)*]** 270 λέγων ] ποιούμενος τὴν ἀρχὴν καὶ *praem. G Patr.* || 274–275 παρήγγειλεν *Y T K* ] παρήγγελεν *Va V G* || 275 τεσσαράκοντα ] μετὰ τὴν ἀνάστασιν *praem. G Patr.* || 276 ἦν ] ὁ κύριος *add. G Patr.* || 276 συναλιζόμενος ] τοῖς ἀποστόλοις *add. G Patr.* || 276 ὁρᾷς ] δὲ *add. G* || 277 αὐτοῖς *V Y T K* ] αὐτῆς *Va, om. G Patr.* || 277 παρήγγειλεν *Y K* ] παρήγγελλεν *Va V G,* αὐτοῖς *add. T,* αὐτοῖς φησὶν *add. G Patr.* || 278 πατρὸς *Y T G K* ] πνεύματος *Va V* || 278 φησίν ] *om. G* || 280 φησιν ] δὲ *G Patr.* || 280 ἔλεγεν ] ὁ σωτὴρ *add. G Patr.* || 281 αὐτόν ] λέγοντες *add. G K U Patr.* || 284 τε ] τῇ *G Patr.* || 285 ἰουδαίᾳ *Va V Y T* ] καὶ σαμαρείᾳ καὶ ἕως ἐσχάτου τῆς γῆς *add. G K U Patr.* || 287 ἡμέρας ] ἡμέραις *T* || 287 συνεγένετο ] συνεγίνετο *K* || 287 γῆς ] ὁ χριστὸς *add. G Patr.* || 288 ἀνελήφθη ] ἐν τοῖς οὐρανοῖς *add. G Patr.* || 289 τὸ πνεῦμα *Y T G K* ] *post* κατεπέμφθη *transp. Va V* || 289 κατεπέμφθη ] ἐπέμφθη *Patr.* || 290 συμπληροῦσθαι *Va V Y T G* ] φησὶ *add. K U Patr.* || 291 πνοῆς βιαίας ] βιαίας πνοῆς *G* || 292 καὶ ] *om. K* || 292 ἐκάθισεν ] τε *add. K* || 292 εἴδετε *Va V Y T* ] ἴδετε *G K* || 292 ἀπόδειξιν ] ἐξέτασιν *in textu eras. V et corr. in marg.* || 293 τῆς ] *om. Patr.* || 293 γῆς ] ὁ χριστὸς *add. G Patr.* || 293 οὐδὲν ] οὐδὲ *Patr.* || 294 πνεύματος ] ἁγίου καὶ ζωοποιοῦ *praem. G Patr.*

οὐδέπω ἔχοντες; Εἴδετε ὅτι μετὰ τεσσαράκοντα ἡμέρας ἀνελήφθη εἰς τὸν οὐρανὸν ὁ Ἰησοῦς; Ὅτι μετὰ τὰς δέκα ἡμέρας ἐθαυματούργουν οἱ ἀπόστολοι; Ἐν γὰρ *τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς* κατεπέμφθη τὸ Πνεῦμα τὸ ἅγιον. Τοῦτο οὖν λοιπόν ἐστι τὸ ζητούμενον τίνος ἕνεκεν νῦν αἱ Πράξεις τῶν ἀποστόλων ἀναγινώσκονται. Εἰ γὰρ τότε ἤρξαντο ποιεῖν τὰ σημεῖα οἱ ἀπόστολοι, τότε ἔδει καὶ τὸ βιβλίον ἀναγινώσκεσθαι τοῦτο. Ὥσπερ γὰρ τὰ περὶ τοῦ σταυροῦ ἐν τῇ ἡμέρᾳ τοῦ σταυροῦ ἀναγινώσκομεν, οὕτως ἔδει καὶ τὰ θαύματα τὰ ἀποστολικὰ ἐν ταῖς ἡμέραις τῶν ἀποστολικῶν σημείων ἀναγινώσκεσθαι.

ϛʹ. Τίνος οὖν ἕνεκεν οὐ τότε ἀναγινώσκομεν, ἀλλ’ εὐθέως μετὰ τὸν σταυρόν; Ἀκούσατε μετὰ ἀκριβείας τὴν αἰτίαν ἅπασαν. Μετὰ τὸν σταυρὸν εὐθέως ἀνάστασιν καταγγέλλομεν, τῆς δὲ ἀναστάσεως ἀπόδειξίς ἐστι τὰ σημεῖα τὰ ἀποστολικά, τῶν δὲ σημείων τῶν ἀποστολικῶν διδασκαλίον ἐστὶ τοῦτο τὸ βιβλίον. Ὃ τοίνυν μάλιστα πιστοῦται τὴν ἀνάστασιν τὴν Δεσποτικὴν τοῦτο μετὰ τὸν σταυρὸν εὐθέως οἱ Πατέρες ἐνομοθέτησαν ἀναγινώσκεσθαι. Διὰ τοῦτο μετὰ τὸν σταυρὸν εὐθέως ἀναγινώσκομεν τὰ σημεῖα, ἵνα μετὰ τὸν σταυρὸν παρεχώμεθα τῆς ἀναστάσεως τὴν ἀπόδειξιν. Οὐκ εἶδες αὐτὸν ἀναστάντα τοῖς ὀφθαλμοῖς τοῦ σώματος, ἀλλ’ ὄψει | αὐτὸν ἀναστάντα τοῖς ὀφθαλμοῖς τῆς πίστεως· οὐκ εἶδες col. 106 αὐτὸν διὰ τῶν ὀμμάτων ἀναστάντα τούτων, ἀλλ’ ὄψει αὐτὸν ἀναστάντα διὰ τῶν θαυμάτων ἐκείνων. Ἡ γὰρ τῶν σημείων ἐπίδειξις χειραγωγεῖ σε πρὸς τὴν τῆς πίστεως θεωρίαν. Καὶ τοῦ φανῆναι αὐτὸν ἀναστάντα πολλῷ μείζων ἐστὶν ἀπόδειξις καὶ σαφεστέρα τὸ σημεῖα γίνεσθαι ἐν τῷ ὀνόματι τῷ ἐκείνου.

---

**[Ms. *Va V L (a l. 131,* ἐπιλέ]λησθε, *usque ad l. 185,* γέ[νηται, *et a l. 295,* οὐδέπω, *usque ad l. 349,* ἐ[κείνου*) Y Ha (usque ad l. 22,* προσχήματι, *et a l. 368,* ἀλλαχοῦ, *usque ad l. 427,* τελευτήσαντα*) T G K U (partim) C (partim) $P_3$ (partim)*]** 295 εἴδετε *Va V L Y T* ] ἴδετε *G K* || 295 τεσσαράκοντα ] τὰς *praem. Patr.* || 296 ὅτι ] ἴδετε (εἴδετε *Patr.*) πάλιν *praem. G Patr.* || 297 πεντηκοστῆς ] πεντη *iterau. T* || 298 λοιπόν ἐστι *Va V L Y G* ] ἐστι λοιπὸν *T K Patr.* || 298 νῦν *Va V L Y T G K* ] *om. U Patr.* || 298–299 τῶν ἀποστόλων ] *in marg. add. V* (*ead. man.*) || 299 ἀναγινώσκονται *Va V L Y T G* ] ἐν τῇ πεντηκοστῇ *praem. K U Patr.* || 299–300 ἀπόστολοι ] ἤγουν μετὰ τὴν Κυρίου ἀνάστασιν *add. G Patr.* || 301 ἐν – σταυροῦ ] *add. in marg. T* || 301 τοῦ ] *om. Patr.* || 301 ἀναγινώσκομεν ] καὶ τὰ ἐν τῇ ἀναστάσει ὁμοίως καὶ τὰ ἐν ἑκάστῃ ἑορτῇ γεγονότα τῇ αὐτῇ πάλιν ἀναγινώσκομεν *add. G Patr.* || 303 ϛʹ. ἀναγινώσκομεν ] αὐτὰ *praem. G Patr.* || 303 σταυρόν ] καὶ τὴν ἀνάστασιν *add. G Patr.* || 305 καταγγέλλομεν ] τοῦ χριστοῦ *add. G Patr.* || 306 τῶν *L Y T G K* ] τὸ *Va V* || 306 σημείων *L Y T G K* ] σημεῖον *Va V* || 306 τῶν ] *om. G Patr.* || 306 διδασκαλίον ] διδασκαλεῖόν *G Patr.* || 306 ἐστὶ ] ἐστὶν *Va L* || 306 τοῦτο τὸ βιβλίον ] τῆς ἀναστάσεως τοῦ χριστοῦ μέγιστον *K* || 308 σταυρὸν ] καὶ τὴν ζωηφόρον ἀνάστασιν *add. G Patr.* || 308 τοῦτο ] τοίνυν ἀγαπητοὶ *add. G Patr.* || 309 σταυρὸν ] καὶ τὴν ἀνάστασιν *add. G Patr.* || 309 σημεῖα ] τῶν ἀποστόλων *add. G Patr.* || 309 μετὰ τὸν σταυρὸν ] *om. G Patr.* || 309 παρεχώμεθα ] ἔχωμεν *G Patr.*, σαφῆ καὶ ἀναμφισβήτητον *add. G Patr.* || 310 εἶδες ] ἴδες *Va* || 311–312 ἀλλ’ – τούτων ] *iterau. et exp. T* (*ead. man.*), *eras. al. man.* || 311 ἀλλ’ ὄψει ] ἀλλὰ βλέπεις *G Patr.* || 311 εἶδες ] ἴδες *Va* || 312 ἀναστάντα *Va V L Y T* ] *post* τούτων *transp. G Patr.*, *ante* διὰ *transp. K* || 312 ἀλλ’ ] *om. G* || 313 ἡ *Va G K Patr.* ] εἰ *L Y* || 314 καὶ ] *ὅθεν G Patr.* || 314 ἐστὶν *Va L Y T G* ] ἦν *K U Patr.* || 315 ἀπόδειξις ] ἡ *praem. K* || 315 τὸ ] τῷ *Va*, γρά<φεται> *in marg. T cum siglo in textu* (*al. man.*) || 315 τῷ ἐκείνου *Va V L Y T* ] αὐτοῦ *G Patr.*, ἐκείνου *ante* ὀνόματι *transp. K*

Βούλει μαθεῖν πῶς τοῦτο μᾶλλον πιστοῦται τὴν ἀνάστασιν ἢ εἰ ἐφάνη πᾶσιν ἀνθρώποις κατ᾽ ὀφθαλμούς ; Ἀκούσατε· καὶ γὰρ πολλοὶ τοῦτο ἐρωτῶσι καὶ λέγουσι· « Τίνος ἕνεκεν ἀναστὰς οὐκ εὐθέως ἐφάνη τοῖς Ἰουδαίοις; » Ἀλλὰ περιττὸς ὁ λόγος οὗτος. Εἰ γὰρ ἔμελλε πρὸς τὴν πίστιν αὐτοὺς ἐπισπάσασθαι, οὐκ ἂν παρῃτήσατο μετὰ τὴν ἀνάστασιν φανῆναι· ὅτι δὲ οὐκ ἔμελλεν αὐτοὺς ἐπισπᾶσθαι φανεὶς αὐτοῖς μετὰ τὴν ἀνάστασιν, δείκνυσι διὰ τοῦ Λαζάρου. Τοῦτον γὰρ τετραήμερον νεκρὸν ἀναστήσας, ὀδωδότα, διεφθορότα[244], μετὰ τῶν κειριῶν ποιήσας ἐξελθεῖν[245] ὑπὸ τὰς ἁπάντων ὄψεις, οὐ μόνον οὐκ ἐπεσπάσατο πρὸς τὴν πίστιν αὐτούς, ἀλλὰ καὶ παρώξυνεν[246]· ἐλθόντες γοῦν ἠβουλήθησαν αὐτὸν ἀνελεῖν διὰ τοῦτο[247]. « Τί λέγεις ; Ἕτερον ἀνέστησε καὶ οὐκ ἐπίστευσαν· ἑαυτὸν ἀναστήσας εἰ ἔδειξεν αὐτοῖς, οὐκ ἂν πάλιν ἐμάνησαν κατ᾽ αὐτοῦ ; » Εἰ καὶ μηδὲν ἔμελλον ἀνύειν, ἀλλ᾽ ὅμως διὰ τῆς ἐπιχειρήσεως ἔμελλον ἀσεβεῖν. Ὥστε βουλόμενος αὐτοὺς ἀπαλλάξαι μανίας περιττῆς, ἔκρυψεν ἑαυτόν· μᾶλλον γὰρ ἂν ἐποίησεν ὑπευθύνους κολάσει, εἰ μετὰ τὸν σταυρὸν ἐφάνη. Διὰ τοῦτο φειδόμενος αὐτῶν ἔκρυψε μὲν ἑαυτὸν ἐκ τῆς ἐκείνων ὄψεως· ἔδειξε δὲ ἑαυτὸν διὰ τῆς τῶν σημείων ἀποδείξεως. Τοῦ γὰρ ἰδεῖν αὐτὸν ἀναστάντα οὐκ ἔλαττον ἦν τὸ ἀκοῦσαι Πέτρου λέγοντος· « *Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειρε καὶ περιπάτει*[248]. »

Καὶ ὅτι τοῦτο ἀναστάσεως μεγίστη ἀπόδειξις, καὶ εὐκολώτερον πρὸς πίστιν ἢ ἐκεῖνο τὸ πρότερον, καὶ μᾶλλον ἠδύνατο πεῖσαι τὰς διανοίας τῶν ἀνθρώπων τὸ σημεῖα φαίνεσθαι ἐν τῷ ὀνόματι αὐτοῦ γινόμενα ἢ τὸ ἰδεῖν αὐτὸν ἀναστάντα, δῆλον ἐκεῖθεν. Ἀνέστη καὶ ἔδειξεν ἑαυτὸν τοῖς μαθηταῖς ὁ Χριστός, ἀλλ᾽ ὅμως εὑρέθη τις ἀπιστῶν[249] ἐν ἐκείνοις, ὁ Θωμᾶς, καὶ ἐδεήθη τοῦ τὰς χεῖρας εἰσενεγ-

---

[244] cf. Jn 11, 39
[245] cf. Jn 11, 44
[246] cf. Lc 16, 31 ; Jn 11, 47–49
[247] cf. Jn 11, 53 ; Jn 12, 10
[248] Ac 3, 6
[249] cf. Jn 20, 27

---

**[Ms. *Va V L (a l. 131,* ἐπιλέ]λησθε, *usque ad l. 185,* γέ[νηται, *et a l. 295,* οὐδέπω, *usque ad l. 349,* ἐ[κείνου*) Y Ha (usque ad l. 22,* προσχήματι, *et a l. 368,* ἀλλαχοῦ, *usque ad l. 427,* τελευτήσαντα*) T G K U (partim) C (partim)* $P_3$ *(partim)* ]** 316 μᾶλλον *Va V T G K* ] *om. L Y* || 316 πιστοῦται ] τὸ βιβλίον *praem. G* || 316 ἢ *T K U Patr.* ] *om. Va V L Y G* || 316 εἰ ] εἴπερ *G* || 316 ἐφάνη ] *post* ἀνθρώποις *transp. G* || 317 ὀφθαλμούς *Va V G K* ] ὀφθαλμόν *L Y T* || 317 ἀκούσατε ] νουνεχῶς *add. G Patr.* || 317 ἐρωτῶσι ] ἐπαποροῦσι *K* || 319 οὗτος *Va V Y K* ] αὐτὸς $T^{pc}$ (*al. man.*), καὶ μάταιος *add. G Patr.* || 319 ἐπισπάσασθαι *Va V G K Patr.* ] ἐπισπᾶσθαι *L Y T* || 320 φανῆναι ] πᾶσιν *add. G Patr.* || 320–321 ἐπισπᾶσθαι ] ἐπισπάσασθαι *G Patr.* || 321 αὐτοῖς *Va G K* ] *om. L Y T* || 322 τετραήμερον νεκρὸν *L Y T G K* ] νεκρὸν τετραήμερον *Va V* || 322 μετὰ ] καὶ *praem. G Patr.* || 322 κειριῶν *Va V T* ] κηριῶν *Y L K*, δεδεμένον *add. G Patr.* || 322–323 ποιήσας ] αὐτὸν *add. G Patr.* || 324 γοῦν ] γὰρ *G Patr.* || 324 ἠβουλήθησαν ] ἐβουλήθησαν *T* || 324 αὐτὸν ] καὶ *praem. G Patr.* || 325 τί λέγεις *Va V L Y T K* ] εἰ οὖν *G Patr.* || 326 αὐτοῖς ] ἑαυτοῖς *G*, ἑαυτὸν *Patr.* || 328 αὐτοὺς ἀπαλλάξαι ] ἀπαλλάξαι αὐτοὺς *K* || 330 μὲν ] *om. Va* || 330 ἑαυτὸν ] *om. G Patr.* || 331 τὸ *L Y T* $K^{pc}$ ] *om. Va V G Patr.*, τοῦ $K^{ac}$ || 332 ἔγειρε *Va V K* ] ἔγειραι *L Y* $T^{pc}$ *G Patr.* || 333 μεγίστη *Va V Front. Patr.* ] μεγίστης *L Y T G K* || 333 καὶ *Va V G K Patr.* ] *om. L Y T* || 335 αὐτὸν ] *om. G* || 336 ἐκεῖθεν ] ἐντεῦθεν *G* || 337 ἐν ] καὶ *praem. G Patr.* || 337 ὁ ] *om. G Patr.* || 337 θωμᾶς ] ὁ λεγόμενος δίδυμος *add. G Patr.* || 337 τοῦ ] τούτου *G*

κεῖν εἰς τοὺς τύπους τῶν ἥλων, ἐδεήθη τὴν πλευρὰν καταμαθεῖν[250]. Εἰ δὲ ὁ μαθητὴς ὁ τρεῖς χρόνους διατρίψας μετ᾽ αὐτοῦ, ὁ τραπέζης κοινωνήσας, ὁ σημεῖα θεασάμενος, ὁ ῥημάτων μετασχὼν καὶ ἰδὼν αὐτὸν ἀναστάντα, οὐ πρότερον ἐπίστευσεν, ἕως ὅτε τὰ τραύματα εἶδε, πῶς ἡ οἰκουμένη πιστεύειν ἤμελλεν, εἰ εἶδεν ἀναστάντα, εἰπέ μοι; Καὶ τίς ἂν ταῦτα εἴποι; Οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθεν δείξομεν ὅτι μᾶλλον ἔπειθε τὰ σημεῖα τοῦ θεάσασθαι κατ᾽ ὄψιν ἀναστάντα.

Ἀλλ᾽ ἀκούσαντες Πέτρου τῷ χωλῷ λέγοντος· « *Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειρε καὶ περιπάτει*[251] », τρισχίλιοι ἐπίστευσαν καὶ πεντακισχίλιοι[252]· ὁ δὲ μαθητὴς ἰδὼν ἀναστάντα ἠπίστησεν[253]. Ὁρᾷς πῶς τοῦτο εὐκολώτερον μᾶλλον πρὸς τὴν τῆς ἀναστάσεως πίστιν; Ἐκεῖνο μὲν γὰρ καὶ ὁ οἰκεῖος ἰδὼν ἠπίστησε· τοῦτο δὲ καὶ οἱ ἐχθροὶ θεασάμενοι ἐπί|στευσαν. Οὕτω μεῖζον τοῦτο ἐκείνου καὶ col. 107
σαφέστερον, καὶ μᾶλλον αὐτοὺς ἐπεσπάσατο καὶ ἔπειθε.

Καὶ τί λέγω τὸν Θωμᾶν; Ὅτι γὰρ οὐδὲ οἱ λοιποὶ ἐκ πρώτης ὄψεως ἐπίστευσαν[254] ἄκουσον. Ἀλλὰ μὴ καταγνῷς αὐτῶν· εἰ γὰρ ὁ Χριστὸς αὐτῶν οὐ κατέγνω, μηδὲ σὺ καταγνῷς. Καὶ γὰρ πρᾶγμα ξένον εἶδον καὶ παράδοξον *πρωτότοκον ἐκ τῶν νεκρῶν*[255] ἀναστάντα· τὰ δὲ τοιαῦτα ἐκ πρώτης ἐκπλήττειν εἴωθεν, ἕως ἂν τῷ χρόνῳ μόνιμα γένηται ἐν ταῖς τῶν πιστευόντων ψυχαῖς. Τὰ τοιαῦτα θορυβεῖ

[250]cf. Jn 20, 25
[251]Ac 3, 6
[252]cf. Ac 2, 41 ; Ac 4, 4
[253]cf. Jn 20, 27
[254]cf. Mt 28, 17 ; Mc 16, 11 ; Jn 20, 29
[255]Col 1, 18

**[Ms. *Va V L (a l. 131,* ἐπιλέ]λησθε, *usque ad l. 185,* γέ[νηται, *et a l. 295,* οὐδέπω, *usque ad l. 349,* ἐ[κείνου) *Y Ha (usque ad l. 22,* προσχήματι, *et a l. 368,* ἀλλαχοῦ, *usque ad l. 427,* τελευτήσαντα) *T G K U (partim) C (partim)* $P_3$ *(partim)* ]** 338 τοὺς τύπους ] τὸν τύπον *L Y T* || 338 ἐδεήθη ] δὲ καὶ *add. G Patr.* || 338 πλευρὰν ] αὐτοῦ *add. G Patr.* || 338–339 μαθητὴς *Va L Y T G* ] ἐκεῖνος *add. K U Patr.* || 339 τρεῖς χρόνους *Va V G K Patr.* ] τριῶν χρόνων *L Y*, τριῶν ἐνιαυτῶν χρόνον *T* || 339 τραπέζης ] δεσποτικῆς *add. G Patr.* || 339 σημεῖα ] καὶ τέρατα *add. G Patr.* || 340 θεασάμενος ] μέγιστα *add. G Patr.* || 340 ῥημάτων ] δεσποτικῶν *add. G Patr.* || 341 ὅτε ] τοὺς τύπους τῶν ἥλων καὶ τῆς λόγχης *add. G Patr.* || 341 ἤμελλεν ] ἔμελλεν *G Patr.* || 342 εἶδεν *L Y T K* ] ἴδεν *Va V*, αὐτὸν *add. G Patr.* || 342 εἰπέ μοι ] *post* ἤμελλεν *transp. G Patr.* || 342 καὶ – εἴποι ] *om. T G* || 343 ἑτέρωθεν *L Y T G K* ] ἑτέροθεν *Va V* || 343 δείξομεν *V T K U Patr.* ] δείξωμεν *Va L Y G* || 343 θεάσασθαι ] αὐτὸν *praem. et post* ὄψιν *transp. G* || 345 ἀλλ᾽ *Va V L Y* ] *om. T G K Patr.* || 345 ἀκούσαντες *Va V* ] ἀκούσαντος *L Y*, γὰρ *add. T G K Patr.* || 345 πέτρου *Va V L Y T G* ] οἱ ὄχλοι τοῦ *praem. K U Patr.* || 345 λέγοντος ] *post* πέτρου *transp. K* || 345 τῷ ] *om. Patr.* || 346 ἔγειρε *Va V G K* ] ἔγειραι *L Y* $T^{pc}$ *Patr.* || 346 καὶ πεντακισχίλιοι ] *om. G*, τῷ χριστῷ ἄνδρες *add. G Patr.* || 348 ἐκεῖνο ] ἐκείνη *G* || 348 ὁ *Va V L Y K* ] *om. T G* || 348 οἰκεῖος ] μαθητὴς *add. G Patr.* || 349 τοῦτο ] ταῦτα *G Patr.* || 349 θεασάμενοι *L Y T G K* ] *post* δὲ *transp. Va V* || 349 καὶ ] *om. K* || 350 ἐπεσπάσατο ] ἐπεσπᾶτο *K U Patr.* || 350 ἔπειθε ] πρὸς τὴν ἀνάστασιν *add. G Patr.* || 351 λοιποὶ ] μαθηταὶ *add. G Patr.* || 351–352 ἐπίστευσαν ] ἐπίστευον *Patr.* || 352 ἄκουσον ] νουνεχῶς *add. G Patr.* || 352 αὐτῶν ] ἀγαπητὲ *add. G Patr.* || 352 αὐτῶν ] *post* κατέγνω *transp. G Patr.* || 353 καταγνῷς *Va V Y T G K U* ] αὐτῶν *add. Front. Patr.* || 353 εἶδον ] οἱ μαθηταὶ *add. G Patr.* || 353 πρωτότοκον ] αὐτὸν *add. G Patr.* || 354 τῶν *Va Y T G* ] *om. V K* || 354 τοιαῦτα ] μέγιστα θαύματα *add. G Patr.* || 355 μόνιμα γένηται ] μόνιμα γένωνται $G^{pc}$ (*al. man.*) || 355–356 τὰ – ταράττει ] *om. G Patr.*

καὶ ταράττει, ὅπερ οὖν καὶ ἐπὶ τῶν μαθητῶν ἐγίνετο. Ἐπειδὴ γὰρ ἀναστὰς « εἶπεν *αὐτοῖς· "Εἰρήνη ὑμῖν", πτοηθέντες,* φησίν, *ἐδόκουν πνεῦμα θεωρεῖν, καὶ εἶπεν αὐτοῖς· "Τί τεταραγμένοι ἐστέ;"*[256] ». Καὶ πάλιν· « *ἐπιδείξας αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας*[257], *ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς καὶ θαυμαζόντων εἶπεν· "Ἔχετέ τι βρώσιμον ἐνθάδε;"*[258] », διὰ τούτων βουλόμενος αὐτοῖς τὴν ἀνάστασιν πιστώσασθαι. « Οὐ πείθει σε, φησίν, ἡ πλευρὰ οὐδὲ τὰ τραύματα; Πειθέτω σε ἡ τράπεζα. »

ζ'. Ἵνα γὰρ μάθῃς ὅτι διὰ τοῦτο εἶπεν· « *Ἔχετέ τι φαγεῖν;* », ἵνα μὴ εἴδωλον νομίσωσιν εἶναι μηδὲ πνεῦμα μηδὲ φαντασίαν, ἀλλ' ἀληθῆ καὶ ἐνυπόστατον ἀνάστασιν, ἄκουσον πῶς ὁ Πέτρος ἀπὸ τούτων πιστοῦται τὴν ἀνάστασιν. Εἰπὼν γὰρ ὅτι « ἀνέστησεν αὐτὸν *ὁ Θεὸς καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι μάρτυσι τοῖς προκεχειροτονημένοις ἡμῖν*[259] », εἶτα ἀπόδειξιν τῆς ἀναστάσεως τιθεὶς ἐπήγαγεν· « *Οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ*[260] ». Διὰ τοῦτο καὶ ἀλλαχοῦ ἀναστήσας νεκρὸν ὁ Χριστός, ἵνα πιστώσηται τὴν ἀνάστασιν· « *Δότε αὐτῇ φαγεῖν*[261] », φησιν. Ὅταν οὖν ἀκούσῃς ὅτι παρέστησεν ἑαυτὸν ζῶντα δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς καὶ συναλιζόμενος, μάνθανε τῆς τραπέζης τὴν αἰτίαν, ὅτι οὐχὶ δεόμενος αὐτὸς τραπέζης ἔτρωγεν, ἀλλὰ βουλόμενος τὴν ἀσθένειαν διορθῶσαι τῶν μαθητῶν, ὅθεν δῆλον ὅτι τὰ σημεῖα ἀπόδειξις ἦν μεγίστη τῆς ἀναστάσεως.

Διὸ καὶ αὐτός φησιν· « *Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει καὶ μείζονα τούτων ποιήσει*[262]. » Ἐπειδὴ γὰρ ὁ σταυρὸς

[256]Lc 24, 36–38
[257]Lc 24, 40
[258]Lc 24, 41
[259]Ac 10, 40–41
[260]Ac 10, 41
[261]Mc 5, 43 ; Lc 8, 55
[262]Jn 14, 12

**[Ms. *Va V L (a l. 131,* ἐπιλέ]λησθε, *usque ad l. 185,* γέ[νηται, *et a l. 295,* οὐδέπω, *usque ad l. 349,* ἐ[κείνου*) Y Ha (usque ad l. 22,* προσχήματι, *et a l. 368,* ἀλλαχοῦ, *usque ad l. 427,* τελευτήσαντα*) T G K U (partim) C (partim) P₃ (partim)* ]** 356 ἐγίνετο *Va V Y K* ] ἐγένετο *T G Patr.*, τότε *add. G Patr.* || 356 εἶπεν ] ὁ χριστὸς ἐκ νεκρῶν *praem. G Patr.* || 357 ἐδόκουν ] ἐκεῖνοι καὶ ἔμφοβοι γενόμενοι *praem. G Patr.* || 357 αὐτοῖς ] ὁ ἰησοῦς *add. G Patr.* || 358 πάλιν ] μετὰ ταῦτα *G Patr.* || 359 ἀπιστούντων ] καὶ *praem. G Patr.* || 359 εἶπεν ] αὐτοῖς *add. G Patr.* || 360 αὐτοῖς ] *post* ἀνάστασιν *transp. K* || 361 σε ] ὑμῖν *scr. et post* φησὶν *transp. G* || 361 οὐδὲ ] καὶ *T* || 361 σε ] κἂν *G Patr.* || 363 ζ'. γὰρ ] δὲ *G Patr.* || 363 μάθῃς ] ἀκριβῶς *add. G Patr.* || 363 τι ] βρώσιμον ἐνθάδε *add. G Patr.* || 363–364 εἴδωλον ] νομίσωσιν εἴδωλον *G Patr.* || 364 νομίσωσιν ] *ante* εἴδωλον *transp. G Patr.* || 364 εἶναι *Va V G Patr.* ] *om. Y T K* || 367 εἶτα ] καὶ *add. G Patr.* || 368 οἵτινες ] καὶ *add. G* || 368 συνεφάγομεν ] συνεφάγωμεν *G* || 368 συνεπίομεν ] συνεπίωμεν *G* || 369 νεκρὸν ] νεκρὰν *G Patr.* || 369 πιστώσηται ] πιστώσητε *G* || 370 φησιν ] ἔφη *post* ἀνάστασιν *transp. G Patr.* || 372 ἔτρωγεν ] ἤσθιεν *Ha* || 373 σημεῖα ] τέρατα καὶ *praem. G Patr.*, τῶν ἀποστόλων *add. G Patr.* || 373 μεγίστη ] *om. Ha* || 375–376 ἐγὼ ποιῶ ] ποιῶ ἐγὼ *G Patr.*

μεταξὺ παρεμπεσὼν ἐσκανδάλισε[263] διὰ τοῦτο μειζόνων μετὰ ταῦτα ἐδέησε σημείων. Καίτοι γε εἰ τελευτήσας ὁ Χριστὸς ἐναπέμεινε τῷ θανάτῳ καὶ τῷ τάφῳ καὶ οὐκ ἀνέστη, καθάπερ Ἰουδαῖοί φασιν, οὐδὲ ἀνέβη εἰς τοὺς οὐρανούς, οὐ μόνον οὐκ ἔδει μείζονα γίνεσθαι τὰ μετὰ ταῦτα σημεῖα μετὰ τὸν σταυρόν, ἀλλὰ καὶ τὰ πρότερα γενόμενα ἀποσβεσθῆναι. Προσέχετέ μοι μετὰ ἀκριβείας ἐνταῦθα· ἀναστάσεως γάρ εἰσιν ἀποδείξεις ἀναμφισβητήτου τὰ λεγόμενα, διὸ καὶ πάλιν τὰ αὐτὰ ἐρῶ. Ἐποίησε σημεῖα πρὸ τούτου ὁ Χριστός, νεκροὺς ἤγειρε, λεπροὺς ἐκαθάρισεν, δαίμονας ἀπήλασεν[264], ἐσταυρώθη μετὰ ταῦτα, καὶ ὡς Ἕλληνες λέγουσιν· « οὐκ ἀνέστη »[265].

Τί οὖν ἂν εἴποιμεν πρὸς αὐτούς; Ὅτι εἰ μὴ ἀνέστη, πῶς μετὰ ταῦτα ἐν τῷ ὀνόματι αὐτοῦ μείζονα ἐγίνετο σημεῖα; Οὐδεὶς | γὰρ τῶν ζώντων τελευτήσας (col. 108) μείζονα ἐποίησε σημεῖα μετὰ τὴν τελευτήν, ἐνταῦθα δὲ μείζονα καὶ τῷ τρόπῳ καὶ τῇ φύσει τὰ θαύματα τὰ μετὰ ταῦτα ἦν. Φύσει μὲν οὖν μείζονα ἦν, ὅτι ἐπὶ τοῦ Χριστοῦ οὐδέποτε σκιαὶ τοὺς νεκροὺς ἀνέστησαν, ἐπὶ δὲ τῶν ἀποστόλων αἱ σκιαὶ αὐτῶν πολλὰ τοιαῦτα ἐποίουν[266]. Τρόπῳ δὲ μείζονα ἐγίνετο σημεῖα, ὅτι τότε μὲν αὐτὸς ἐπιτάττων ἐθαυματούργει, μετὰ δὲ τὸν σταυρὸν οἱ δοῦλοι αὐτοῦ τῷ ὀνόματι αὐτοῦ χρώμενοι μείζονα ἐποίουν, ὥστε μειζόνως αὐτοῦ διαλάμψαι τὴν ἰσχύν. Τὸ γὰρ αὐτὸν ἐπιτάττειν πολλῷ μεῖζον ἦν τὸ ἕτερον τῷ ἐκείνου κεχρημένον ὀνόματι τοιαῦτα θαυματουργεῖν. Εἶδες καὶ τῷ τρόπῳ καὶ τῇ φύσει μείζονα ὄντα τὰ σημεῖα; Οὐκοῦν ἀναμφισβήτητος ἡ ἀπόδειξις τῆς ἀναστάσεως. Ὅπερ γὰρ ἔλεγον· εἰ τετελευτήκει καὶ οὐκ ἀνέστη, ἔδει καὶ τὰ σημεῖα τελευτῆσαι, νῦν

[263] cf. 1 Co 1, 23
[264] cf. Mt 10, 8
[265] cf. Ac 17, 18 ;32
[266] cf. Ac 5, 15

**[Ms.** ***Va V L (a l. 131,*** **ἐπιλέ]λησθε,** ***usque ad l. 185,*** **γέ[νηται,** ***et a l. 295,*** **οὐδέπω,** ***usque ad l. 349,*** **ἐ[κείνου***) Y Ha (usque ad l. 22,* **προσχήματι,** ***et a l. 368,*** **ἀλλαχοῦ,** ***usque ad l. 427,*** **τελευτήσαντα***) T G K U (partim) C (partim) $P_3$ (partim)* **]** 377 ἐσκανδάλισε ] πολλούς *add. G*, πλείστους *add. Patr.* || 377 τοῦτο ] καὶ *add. G Patr.* || 377 ἐδέησε ] *post* μειζόνων *transp. K* || 379 ἀνέστη ] ἀνέστην *Va* || 379 ἰουδαῖοί *Y Ha T G* ] οἱ *praem. Va V Patr.*, καὶ *praem. K* || 379 φασιν ] φησιν *T* || 380 μετὰ ] τὰ *praem. G Patr.* || 381 γενόμενα ] γινόμενα *Patr.* || 381 ἀποσβεσθῆναι ] ἐχρῆν *add. G Patr.* || 381 μοι ] δὲ *add. G* || 382 ἀποδείξεις ἀναμφισβητήτου *Ha Y K* ] ἀπόδειξις ἀναμφισβήτου *Va*, ἀπόδειξις ἀναμφισβητήτου *V*, ἀναμφισβητήτου ἀποδείξεις *G Patr.* || 383 πρὸ τούτου ] *post* χριστὸς *transp. K* || 384 ἐκαθάρισεν *Va V Ha Y T G* ] ἐκάθηρε *K U Patr.* || 384 ἕλληνες ] οἱ παράνομοι ἰουδαῖοι *G Patr.* || 385 ἀνέστη ] ἐκ νεκρῶν *add. G Patr.* || 387 ἐγίνετο ] ἐγένετο *G Patr.* || 387 σημεῖα ] τὰ *praem. K* || 388 ἐποίησε σημεῖα ] σημεῖα ἐποίησε *G Patr.* || 389 τὰ *Va V Y Ha* ] *om. T G K Patr.* || 389 μὲν οὖν ] γὰρ *G Patr.* || 389 ἐπὶ ] μὲν *add. T*, *om. Patr.* || 390 τοὺς ] *om. G Patr.* || 391 ἐγίνετο ] ἐγένετο Patr. || 393 ὀνόματι ] σεβασμίῳ καὶ ἁγίῳ *praem. G Patr.* || 393 αὐτοῦ ] *ante* ὀνόματι *transp. G Patr.* || 393 μείζονα ] καὶ ὑψηλότερα *add. G Patr.* || 393 διαλάμψαι ] καὶ ἐνδοξοτέρως *praem. G Patr.* || 394 τὸ *Va V Y Ha T* ] τοῦ *G* $K^{pc}$ *(al. man.) Patr.* || 394 τῷ *Va Y Ha T Patr.* ] τὸ *V G* $K^{ac}$ *(corr. al. man.)* || 395 εἶδες ] ἀγαπητὲ *add. G Patr.* || 395 καὶ τῇ φύσει *Va V Y Ha T G* ] *post* εἶδες *transp. K U Patr.* || 396 σημεῖα ] τῶν ἀποστόλων μετὰ τὴν ἀνάστασιν (τοῦ *add. Patr.*) χριστοῦ *add. G Patr.* || 396 ἀναμφισβήτητος ] ἀναμφισβήτος *Va* || 396 ἡ ἀπόδειξις ] *post* ἀναστάσεως *transp. Va V* || 396 ὅπερ ] ὅμως *praem. G* || 397 γὰρ ] *om. G* || 397 ἔλεγον ] καὶ πάλιν ἐρῶ *add. G Patr.* || 397 τετελευτήκει ] ἐτετελευτήκει *Patr.*, ὁ χριστὸς *add. G Patr.* || 397 τελευτῆσαι ] καὶ ἀποσβεσθῆναι *add. G Patr.* || 397 νῦν ] νυνὶ *G Patr.*

δὲ οὐ μόνον οὐκ ἀπεσβέσθη, ἀλλὰ καὶ λαμπρότερα γέγονε μετὰ ταῦτα. Εἰ γὰρ μὴ ἀνέστη, οὐκ ἂν ἕτεροι ἐν τῷ ὀνόματι αὐτοῦ τοιαῦτα ἐποίησαν. Ἡ αὐτὴ μὲν γὰρ δύναμις καὶ πρὸ τοῦ σταυροῦ καὶ μετὰ τὸν σταυρὸν ἐθαυματούργει· τότε μὲν γὰρ δι' ἑαυτοῦ, ὕστερον δὲ δι' αὐτῶν· ὥστε δὲ σαφεστέραν γενέσθαι τῆς ἀναστάσεως τὴν ἀπόδειξιν, μείζονα μετὰ τὸν σταυρὸν ἐγίνετο τὰ σημεῖα.

« Καὶ πόθεν δῆλόν, φησιν, ὅτι σημεῖα γέγονε τότε; » Ὁ ἄπιστος ἐρεῖ· « Πόθεν γὰρ δῆλον ὅτι ἐσταυρώθη; » « Ἀπὸ τῶν Γραφῶν », φησίν. Οὐκοῦν ὅτι καὶ σημεῖα γέγονεν ἀπὸ τῶν Γραφῶν δῆλον. Ἐκεῖναι γὰρ καὶ ταῦτα κἀκεῖνα λέγουσιν. Εἰ δὲ λέγεις ὅτι οὐκ ἐποίησαν σημεῖα οἱ ἀπόστολοι, μειζόνως δεικνύεις αὐτῶν τὴν δύναμιν, ὅτι χωρὶς σημείων τοσαύτην οἰκουμένην ἐπεσπάσαντο. Τοῦτο μέγιστον σημεῖον, τοῦτο παράδοξον θαῦμα, ὅταν οἱ πτωχοὶ καὶ πένητες καὶ *ἀγράμματοι καὶ ἰδιῶται*[267] καὶ δώδεκα τὸν ἀριθμὸν πόλεις τοσαύτας καὶ ἔθνη καὶ δήμους καὶ βασιλεῖς καὶ τυράννους καὶ φιλοσόφους καὶ ῥήτορας καὶ πᾶσαν, ὡς εἰπεῖν, τὴν γῆν χωρὶς σημείων φαίνωνται πρὸς ἑαυτοὺς ἑλκύσαντες. Ἀλλὰ νῦν βούλει σημεῖα γινόμενα ἰδεῖν; Ἐγώ σοι δείξω καὶ νῦν μείζονα τῶν προτέρων, οὐχ ἕνα νεκρὸν ἐγειρόμενον, οὐχ ἕνα τυφλὸν ἀναβλέποντα, ἀλλὰ πᾶσαν τὴν γῆν τὸ σκότος τῆς πλάνης ἀποθεμένην, οὐχ ἕνα λεπρὸν καθαιρόμενον ἀλλ' ἔθνη τοσαῦτα τὴν λέπραν τῆς ἁμαρτίας ἀποσμηξάμενα καὶ *διὰ λουτροῦ παλιγγενεσίας*[268] καθαρθέντα. Τί τούτων τῶν σημείων ἐπιζητεῖς, ἄνθρωπε, ἀθρόον τοσαύτην τῆς οἰκουμένης μεταβολὴν ὁρῶν γεγενημένην;

**η'.** Βούλει μαθεῖν πῶς ἀναβλέψαι τὴν οἰκουμένην ἐποίησεν ὁ Χριστός; Τὸ πρό-

[267] Ac 4, 13
[268] Tt 3, 5

**[Ms. *Va V L (a l. 131,* ἐπιλέ]λησθε*, usque ad l. 185,* γέ[νηται*, et a l. 295,* οὐδέπω*, usque ad l. 349,* ἐ[κείνου*) Y Ha (usque ad l. 22,* προσχήματι*, et a l. 368,* ἀλλαχοῦ*, usque ad l. 427,* τελευτήσαντα*) T G K U (partim) C (partim) $P_3$ (partim)* ]** 398 λαμπρότερα ] καὶ ἐνδοξότερα *add. G Patr.* || 399 ἀνέστη ] ὁ χριστὸς *add. G Patr.* || 399 τοιαῦτα ] σημεῖα add. G Patr. || 400 τότε ] καὶ πρῶτον *G Patr.* || 401 γὰρ ] *om. G Patr.* || 401 δι' αὐτῶν *V $Y^{pc}$ Ha $K^{pc}$* ] δι' ἑαυτῶν *Va $K^{ac}$*, δι' αὐτόν *$Y^{ac}$ T*, διὰ τῶν μαθητῶν *G Patr.* || 401 ὥστε ] ἵνα *G Patr.* || 401 σαφεστέραν ] σαφεστέρα καὶ ἐνδοξοτέρα *G Patr.* || 401 γενέσθαι ] γένηται *G Patr.* || 402 τὴν ἀπόδειξιν ] ἡ ἀπόδειξις *G Patr.* || 402 μείζονα ] καὶ ὑψηλότερα *add. G Patr.* || 402 ἐγίνετο ] ἐγένετο *G Patr.* || 403 φησιν ] *om. G Patr.* || 404 γὰρ ] δὲ καὶ *G Patr.* || 404 ἐσταυρώθη ] ὁ χριστὸς *add. G Patr.* || 404 γραφῶν ] θείων *praem. G Patr.* || 404 οὐκοῦν ] καὶ γὰρ *G Patr.* || 404 καὶ ] *om. G Patr.* || 405 γέγονεν ] γέγονε *G Patr.*, τότε καὶ ὅτι ἐσταυρώθη ὁ Χριστὸς *add. G Patr.* || 405 γραφῶν ] ἁγίων *praem. G Patr.* || 405 γὰρ ] μὲν *praem. G Patr.* || 405 καὶ ] αἱ γραφαὶ *praem. G* || 406 λέγεις ] λέγει *Patr.*, ὁ ὑπεναντίος *add. G Patr.* || 406 δεικνύεις αὐτῶν ] αὐτῶν δεικνύεις *G Patr.* || 407 δύναμιν ] καὶ τὴν θείαν χάριν *add. G Patr.* || 407 ἐπεσπάσαντο ] πρὸς θεοσέβειαν *add. G Patr.* || 407 τοῦτο ] γὰρ *add. G Patr.* || 408 τοῦτο ] καὶ *G Patr.* || 408 πένητες ] καὶ εὐκαταφρόνητοι *add. G Patr.* || 409 ἰδιῶται ] καὶ εὐτελεῖς *add. G Patr.* || 411 φαίνωνται *Va V $Y^{pc}$ T Patr.* ] φαίνονται *Ha G K* || 411 ἀλλὰ νῦν ] δὲ καὶ νῦν *post* βούλει *transp. G Patr.* || 412 νῦν *Va V Y Ha T G* ] *om. K U Patr.* || 413 οὐχ ] οὐδὲ *G* || 415 ἀποσμηξάμενα *$Y^{pc}$ T G $K^{pc}$* (*al. man.*) ] ἀποσμιξάμενα *Va V $Y^{ac}$ $K^{ac}$*, ἀποσμήξαντα *Patr.* || 415 καὶ *Va V Y G K* ] *om. Ha T* || 415 λουτροῦ ] τοῦ *praem. Patr.* || 415 παλιγγενεσίας ] παλινγενεσίας *G* || 416 καθαρθέντα ] ἀποκαθαρθέντα *K* || 416 ἐπιζητεῖς *Va V Y K* ] μεῖζον *praem. G Patr. et add. Ha T* || 416 τοσαύτην τῆς ] τοσαύτης *G* || 416 τοσαύτην ] *ante* μεταβολὴν *transp. Ha*

τερον τὸ ξύλον καὶ τὸν λίθον οὐκ ἐνόμιζον εἶναι ξύλον καὶ λίθον οἱ ἄνθρωποι, ἀλλὰ « θεὸν » ἐκάλουν τὰ ἀναίσθητα[269]· νυνὶ δὲ εἶδον τί ξύλον, τί λίθος· ἐπίστευσαν τί Θεός. Πίστει γὰρ μόνῃ θεωρεῖται ἡ φύσις ἐκείνη.

Βούλει καὶ ἕτερον ἀναστάσεως ἰδεῖν σημεῖον; Ἀπὸ τῆς τῶν μαθητῶν γνώμης ὄψει καὶ τοῦτο μεῖζον γενόμενον μετὰ | τὴν ἀνάστασιν. Καὶ γὰρ παρὰ πᾶσιν col. 109 ὡμολόγηται τοῦτο· ὁ μὲν περὶ ζῶντα εὐνοϊκῶς διακείμενος καὶ ἀπελθόντος ἴσως μεμνήσεται, ἴσως δὲ οὐ μεμνήσεται· ὁ δὲ περὶ ζῶντα ἀγνωμόνως διατεθεὶς καὶ ἐγκαταλιπὼν περιόντα πολλῷ μᾶλλον ἀποθανόντος ἐπιλήσεται. Καὶ οὐδεὶς τὸν φίλον καὶ τὸν διδάσκαλον ἀφεὶς ζῶντα καὶ ἐγκαταλιπὼν τελευτήσαντα περὶ πολλοῦ ποιεῖται, καὶ μάλιστα ὅταν κινδύνους μυρίους αὐτῷ προκειμένους ἀπὸ τῆς περὶ ἐκεῖνον σπουδῆς βλέπῃ. Ἀλλ' ἰδοὺ τοῦτο τὸ ἐπὶ μηδενὸς συμβαῖνον ἐπὶ τοῦ Χριστοῦ καὶ τῶν ἀποστόλων ἐγίνετο, καὶ οἱ ζῶντα αὐτὸν ἐγκαταλιπόντες καὶ συλληφθέντα ἀφέντες καὶ ἀποπηδήσαντες μετὰ τὸν σταυρὸν οὕτω περὶ πολλοῦ πεποίηνται, ὡς καὶ τὰς ψυχὰς ἐπιδοῦναι τὰς ἑαυτῶν ὑπὲρ τῆς εἰς αὐτὸν ὁμολογίας[270]. Καίτοι γε εἰ τετελευτήκει καὶ οὐκ ἀνέστη, πῶς εἶχε λόγον τοὺς ἡνίκα ἔζη φυγόντας διὰ τὸν ἐπικείμενον κίνδυνον ἡνίκα ἐτελεύτησε μυρίοις ἑαυτοὺς δι' ἐκεῖνον παραβάλλειν κινδύνοις; Οἱ μὲν οὖν ἄλλοι πάντες ἔφυγον, Πέτρος δὲ καὶ ἠρνήσατο μεθ' ὅρκου τρίτον, καὶ ὁ μεθ' ὅρκου τρίτον αὐτὸν ἀπαρνησάμενος καὶ θεραπαινιδίου φόβον εὐτελοῦς δείσας[271], ἐπειδὴ ἐτελεύτησε, βουλόμενος ἡμᾶς πεῖσαι διὰ τῶν πραγμάτων αὐτῶν ὅτι εἶδεν αὐτὸν ἀναστάντα, οὕτως ἀθρόον μετεβάλλετο, ὡς ὁλοκλήρου καταγελάσαι δήμου καὶ εἰς μέσον τῶν Ἰουδαίων τὸ θέατρον εἰσπήδησαντα εἰπεῖν ὅτι ὁ σταυρωθεὶς καὶ ταφεὶς εἰς τοὺς οὐρανοὺς

[269] cf. Is 37, 19 ; Jr 2, 27

[270] cf. Ac 15, 26

[271] cf. Mt 26, 69–75 ; Mc 14, 66–72 ; Lc 22, 56–62 ; Jn 18, 17 ; 25–27

**[Ms. *Va V L (a l. 131,* ἐπιλέ]λησθε, *usque ad l. 185,* γέ[νηται, *et a l. 295,* οὐδέπω, *usque ad l. 349,* ἐ[κείνου*) Y Ha (usque ad l. 22,* προσχήματι, *et a l. 368,* ἀλλαχοῦ, *usque ad l. 427,* τελευτήσαντα*) T G K U (partim) C (partim) $P_3$ (partim)* ]** 419 η'. τὸ ξύλον καὶ τὸν λίθον *Va V Y T G* ] τὸν λίθον καὶ τὸ ξύλον *Ha K* || 420 θεὸν ] θεοὺς *G Patr.* || 420 ἀναίσθητα *Va V Y Ha T G* ] οὕτως ἦσαν ἀποτετυφλωμένοι *add. K U Patr.* || 420 τί$^2$ *Va V G* ] καὶ *praem. Y Ha T K* || 420–421 ἐπίστευσαν ] καὶ *praem. T* || 421 φύσις ] ἀνώλεθρος καὶ μακαρία *praem. G Patr.* || 422 βούλει ] δὲ *add. G Patr.* || 423 γενόμενον ] γινόμενον *Patr.* || 424 τοῦτο ] ὅτι *G Patr.* || 424 ] ἄνθρωπον *add. G Patr.* || 424 καὶ ] τις *G* || 424 ἀπελθόντος ] ἀποθανόντος *G Patr.*, αὐτοῦ *add. G* || 425 μεμνήσεται ἴσως δὲ οὐ μεμνήσεται *Y T* ] δὲ οὐ μεμνήσεται *Va*, οὐ μεμνήσεται *V*, μεμνήσεται *Ha*, οὐδὲ μέμνηται αὐτοῦ *G*, οὐκ ἐπιλήσεται *K U*, οὐδὲ μέμνηται *Patr.* || 426 ἐπιλήσεται *Va V Y Ha T G Patr.* ] οὐ μεμνήσεται *K U* || 426 καὶ ] ὅθεν *G Patr.* || 426 οὐδεὶς ] τῶν ἀνθρώπων *add. G Patr.* || 429 βλέπῃ *Va V Y T G Patr.* ] βλέπει *K U* || 429 τὸ ] *om. T* || 430 ἐγίνετο ] ἐγένετο *G Patr.* || 430 αὐτὸν ] αὐτῶν *G* || 430 ἐγκαταλιπόντες ] ἀρνησάμενοι καὶ *praem. G Patr.* || 431 μετὰ ] μυρία ἐκεῖνα ὀνείδη καὶ *add. G Patr.* || 433 ὁμολογίας ] καὶ πίστεως *add. G Patr.* || 433 εἰ ] καὶ *add. G Patr.* || 433 τετελευτήκει ] ὁ (*om. Patr.*) χριστὸς *add. G Patr.* || 434 μυρίοις *Y T G K* ] μυρίους *Va V* || 434–435 ἑαυτοὺς *G K* ] ἑαυτοῖς *Va$^{pc}$* (*ead. man.*) *V Y T* || 435 παραβάλλειν ] παραβαλεῖν *T*, περιβαλεῖν *G*, περιβάλλειν *Patr.* || 435 κινδύνοις *V$^{pc}$ Y G K* ] κινδύνους *Va$^{pc}$ V$^{ac}$ T* || 435 ἄλλοι ] μαθηταὶ *add. G* || 436–437 ἀπαρνησάμενος ] ἀρνησάμενος *Patr.* || 437 φόβον εὐτελοῦς ] εὐτελοῦς φόβον *G* || 437 δείσας ] δειλιάσας *T* || 440 τὸ θέατρον *Va V Y K* ] τῷ θεάτρῳ *T*, τοῦ θεάτρου *scr. et post* μέσον *transp. G* || 440 εἰσπήδησαντα ] εἰσπηδῆσαι καὶ *G Patr.* || 440 ταφεὶς ] ἀνέστη ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ καὶ *add. G Patr.*

ἀνέβη, καὶ μηδὲν αὐτῶν ὑποδεῖσθαι δεινόν. Πόθεν οὖν τὸ θαρρεῖν αὐτῷ ἐγένετο; Πόθεν δὲ ἄλλοθεν, ἀλλ᾽ ἢ ἀπὸ τῆς πληροφορίας τῆς κατὰ τὴν ἀνάστασιν; Ἐπειδὴ γὰρ εἶδεν αὐτὸν καὶ διελέχθη καὶ περὶ τῶν μελλόντων ἤκουσε, διὰ δὴ τοῦτο ὡς ὑπὲρ ζῶντος κινδυνεύων λοιπὸν οὕτως ἁπάντων κατετόλμησε τῶν δεινῶν, ἅτε δὴ πλείονα λαβὼν δύναμιν καὶ μεῖζον τὸ θάρσος. Οὐκ ἂν δὲ πλείονα δύναμιν ἔλαβεν παρὰ τοῦ νεκροῦ καὶ μένοντος ἐν τῷ θανάτῳ. Ὅταν οὖν ἴδῃς καὶ σημεῖα μείζονα γινόμενα, καὶ τοὺς μαθητὰς πλείονα κεκτημένους εὔνοιαν περὶ αὐτὸν τοὺς πρότερον ἐγκαταλιπόντας αὐτόν, καὶ παρρησίαν μείζονα ἐπιδεικνυμένους, καὶ πανταχόθεν λαμπροτέραν γινομένην τῶν πραγμάτων τὴν μεταβολήν, καὶ ἐπὶ τὸ φαιδρὸν προελθόντα ἅπαντα, μάνθανε δι᾽ αὐτῆς τῶν πραγμάτων τῆς πείρας ὅτι οὐ μέχρι θανάτου τὰ κατὰ τὸν Χριστὸν ἔμεινεν, ἀλλὰ ἀνάστασις διεδέξατο καὶ ζῇ καὶ μένει διηνεκῶς ὁ σταυρωθείς. Οὐ γὰρ ἂν εἰ μὴ ἀνέστη καὶ ἔζη, μείζονα μετὰ ταῦτα σημεῖα εἰργάσαντο τῶν πρὸ τοῦ σταυροῦ γενομένων. Τότε μὲν γὰρ αὐτὸν καὶ οἱ μαθηταὶ ἐγκατέλιπον, νυνὶ δὲ αὐτῷ καὶ ἡ οἰκουμένη προστρέχει πᾶσα, καὶ οὐχὶ Πέτρος μόνον, ἀλλὰ καὶ μυρίοι μετὰ Πέτρον τῶν οὐχ ἑωρακότων αὐτὸν τὰς ψυχὰς ἐπέδωκαν τὰς ἑαυτῶν ὑπὲρ ἐκείνου, τὰς κεφαλὰς ἀπετμήθησαν, μυρία ἔπαθον δεινά, ὥστε τὴν εἰς αὐτὸν | ὁμολογίαν ὑγιῆ καὶ col. 110
ἀκέραιον ἔχοντας ἀπελθεῖν. Πῶς οὖν ὁ νεκρὸς καὶ ἐν τῷ τάφῳ μένων τοσαύτην καὶ ἐν τοῖς μαθηταῖς καὶ ἐν τοῖς μετ᾽ ἐκείνους ἅπασιν ἐπεδείξατο τὴν ἰσχὺν καὶ τὴν δύναμιν, πείθων αὐτὸν προσκυνεῖν καὶ πάντα αἱρεῖσθαι πάσχειν ὑπὲρ τοῦ μὴ τὴν πίστιν ἀπολέσαι τὴν εἰς αὐτόν; Ὁρᾷς διὰ πάντων σαφῆ τῆς ἀναστάσεως τὴν ἀπόδειξιν, διὰ τῶν σημείων τῶν τότε, τῶν νῦν, διὰ τῆς εὐνοίας τῶν μαθητῶν τῶν τότε, τῶν νῦν, διὰ τῶν κινδύνων ἐν οἷς διετέλεσαν οἱ πιστεύσαντες;

Βούλει καὶ τοὺς ἐχθροὺς ἰδεῖν πεφοβημένους αὐτοῦ τὴν ἰσχὺν καὶ τὴν δύναμιν καὶ μᾶλλον μετὰ τὸν σταυρὸν ἀγωνιῶντας; Ἄκουε καὶ τοῦτο νῦν. *Θεωροῦντες*,

**[Ms. *Va V L (a l. 131,* ἐπιλέ]ληοθε, *usque ad l. 185,* γέ[νηται, *et a l. 295,* οὐδέπω, *usque ad l. 349,* ἐ[κείνου*) Y Ha (usque ad l. 22,* προσχήματι, *et a l. 368,* ἀλλαχοῦ, *usque ad l. 427,* τελευτήσαντα*) T G K U (partim) C (partim)* $P_3$ *(partim)* ]** 441 καὶ – δεινόν ] *om. G* || 441 αὐτῶν *Va K U* ] αὐτῷ *V*, αὐτὸν *Y T Front. Patr.* || 441 ὑποδεῖσθαι ] ὑποδεῖσαι $K^{pc}$ || 441 δεινόν ] δεινῶν $Va^{pc}$ *V* (*ead. man.*) || 441 αὐτῷ *G K* ] *post* οὖν *transp. Va V, om. Y T* || 442 δὲ ] *om. G Patr.* || 443 καὶ *Va V Y T G K U* ] γὰρ *Front. Patr.* || 443 δὴ ] *om. G Patr.* || 445 δὴ ] καὶ *add. G Patr.* || 445–446 οὐκ – θανάτῳ ] ὡς ὑπὲρ αὐτοῦ ἀποθανεῖν καὶ τῷ σταυρῷ κατὰ κεφαλῆς προσομιλῆσαι *G Patr.* || 446 ἔλαβεν ] ἔλαβε $T^{pc}$ || 446 οὖν ] τοίνυν *G Patr.* || 447 γινόμενα ] *om.* $T^{txt}$, *add.* $T^{mg}$ (*al man.*) || 448 ἐπιδεικνυμένους *Y T G K* ] κεκτημένους *Va V* || 450 φαιδρὸν ] πεπαρρησιασμένον καὶ *praem. G Patr.* || 450 δι᾽ αὐτῆς ] διὰ τῆς *T* || 450 τῆς ] *om. T* || 451 ἀλλὰ *Y T G K* ] ἀλλ᾽ *Va V* || 452 διεδέξατο ] αὐτὸν *praem. G Patr.* || 452 ζῇ ] ζωὴ *V* || 452 σταυρωθείς ] Θεὸς ἀναλλοίωτος *add. G Patr.* || 453 εἰργάσαντο *Va V Y T* ] εἰργάσατο *K*, οἱ μαθηταὶ *add. G Patr.* || 453 γενομένων *Va V Y G K* ] γινομένων *T Patr.* || 455 πᾶσα ] ἅπασα *G Patr.* || 455 μυρίοι ] ἕτεροι *praem. G Patr.*, καὶ πολλῷ πλέον *add. G Patr.* || 455 πέτρον ] πέτρου *T* || 456 τὰς ] καὶ *praem. G Patr.* || 457 μυρία ] καὶ *praem. G Patr.* || 457 ὑγιῆ ] ὑγιεῖ *K* || 458 ἀκέραιον *Y T K Patr.* ] ἀκαίρεον *Va V G* || 458 ἔχοντας ] ἔχοντες *G* || 458 τῷ *Y T K Patr.* ] *om. Va V G* || 458 μένων ] ὡς σοὶ (σὺ *Patr.*) λέγεις ὦ ἰουδαῖε *add. G Patr.* || 459 καὶ ἐν τοῖς μαθηταῖς *Y T K* ] *om. Va V G Patr.* || 460 πείθων ] αὐτοὺς *add. G Patr.* || 460 αὐτὸν ] μόνον *add. G Patr.* || 460 αἱρεῖσθαι ] ὑπομεῖναι *add. G Patr.* || 460 πάσχειν ] καὶ *praem. G Patr.* || 462 ἀπόδειξιν ] ὑπόδειξιν *Patr.* || 463 τῶν τότε τῶν νῦν ] *om. V* || 465 μᾶλλον ] πολλῷ *praem. Patr.* || 465 τοῦτο νῦν ] περὶ τούτων συνετῶς *G Patr.* || 465 θεωροῦντες ] γὰρ *add. G Patr.*

φησίν, οἱ Ἰουδαῖοι *τὴν τοῦ Πέτρου παρρησίαν καὶ Ἰωάννου καὶ καταλαβόμενοι ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται ἐθαύμαζον*[272], οὐκ ἐπειδὴ ἀγράμματοι ἦσαν, ἀλλ᾽ ἐπειδὴ ἀγράμματοι ὄντες πάντων περιεγένοντο, καὶ *τὸν ἄνθρωπον σὺν αὐτοῖς τὸν τεθεραπευμένον* ὁρῶντες *οὐδὲν εἶχον ἀντειπεῖν*[273]. Καίτοι πρὸ τούτου γε ἀντέλεγον σημεῖα ὁρῶντες γινόμενα. Πῶς οὖν τότε οὐκ ἀντεῖπον; Ἀπέστησεν αὐτῶν τὴν γλῶτταν ἡ ἀόρατος τοῦ σταυρωθέντος δύναμις· ἐκεῖνος τὸ στόμα ἐνέφραξεν[274]· ἐκεῖνος τὴν παρρησίαν κατέστειλε· διὰ τοῦτο καὶ εἱστήκεισαν μηδὲν ἔχοντες ἀντειπεῖν. Ὅταν δὲ καὶ ἐφθέγξαντο, ὅρα πῶς τὴν δειλίαν ὁμολογοῦσι τὴν ἑαυτῶν· « *Βούλεσθε*, φησίν, *ἐπαγαγεῖν ἐφ᾽ ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου*[275]; » « Καὶ μήν, εἰ ἄνθρωπός ἐστι ψιλός, τί δέδοικας αὐτοῦ τὸ αἷμα; Πόσους ἀνεῖλες προφήτας, πόσους ἔσφαξας δικαίους, ὦ Ἰουδαῖε, καὶ οὐδενὸς αὐτῶν τὸ αἷμα ἐφοβήθης; Τίνος οὖν ἕνεκεν ἐνταῦθα φοβῇ; » Κατέσεισεν αὐτῶν λανθανόντως τὸ συνειδὸς ὁ σταυρωθείς, καὶ τὴν ἀγωνίαν ἣν εἶχον κρύψαι μὴ δυνάμενοι καὶ ἄκοντες ἐπὶ τῶν ἐχθρῶν ὁμολογοῦσι τὴν οἰκείαν ἀσθένειαν. Καὶ ὅτε μὲν ἐσταύρουν αὐτὸν ἐβόων λέγοντες· « *Τὸ αἷμα αὐτοῦ*, φησίν, *ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν*[276]. » Οὕτως κατεφρόνουν τοῦ αἵματος αὐτοῦ. Μετὰ δὲ τὸν σταυρὸν ἰδόντες αὐτοῦ τὴν δύναμιν διαλάμπουσαν φοβοῦνται καὶ ἀγωνιῶσι καὶ λέγουσι· « *Βούλεσθε ἐπαγαγεῖν ἐφ᾽ ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου*[277]; » « Καίτοι γε εἰ πλάνος ἦν καὶ ἀντίθεος, καθὼς φατε, καὶ παράνομος, τίνος ἕνεκεν αὐτοῦ δεδοίκατε τὸ αἷμα; Καὶ γὰρ καὶ ἐγκαλλωπίζεσθαι ἔδει τῷ φόνῳ, εἰ τοιοῦτος ἦν. » Ἀλλ᾽ ἐπειδὴ τοιοῦτος οὐκ ἦν, διὰ τοῦτο τρέμουσιν.

**θ’.** Ὁρᾷς πανταχόθεν καὶ τοὺς ἐχθροὺς ἀγωνιῶντας καὶ δεδοικότας; Εἶδες αὐτῶν τὴν ἀγωνίαν; Μάθε τοῦ σταυρωθέντος τὴν φιλανθρωπίαν[278]. Ἐκεῖνοι μὲν γὰρ ἔλεγον· « *Τὸ αἷμα αὐτοῦ ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν*[279] », ὁ δὲ Χριστὸς οὐκ

[272] Ac 4, 13
[273] Ac 4, 14
[274] cf. Ps 107 (106), 42
[275] Ac 5, 28
[276] Mt 27, 25
[277] Ac 5, 28
[278] cf. Tt 3, 4
[279] Mt 27, 25

**[Ms. *Va V L (a l. 131,* ἐπιλέ]λησθε, *usque ad l. 185,* γέ[νηται, *et a l. 295,* οὐδέπω, *usque ad l. 349,* ἐ[κείνου*) Y Ha (usque ad l. 22,* προσχήματι, *et a l. 368,* ἀλλαχοῦ, *usque ad l. 427,* τελευτήσαντα*) T G K U (partim) C (partim)* $P_3$ *(partim)* ]** 467 ἐθαύμαζον ] καὶ ἠγωνίων *add. G Patr.* || 468 ἦσαν ] οἱ ἀπόστολοι· ἐθαύμαζον οἱ ἰουδαῖοι *add. G* || 468 πάντων ] τῶν σοφῶν *add. G Patr.* || 469 τὸν τεθεραπευμένον *Y T G K* ] ὁρῶντα *praem. Va V* || 469 ὁρῶντες *Va V Y T* ] *om. G, post* αὐτοῖς *transp. K U Patr.* || 470 γε ] *post* καίτοι *transp. G Patr.* || 470 ἀντέλεγον σημεῖα ] σημεῖα ἀντέλεγον *G* || 470 οὖν ] δὲ *G* || 470–471 ἀπέστησεν ] ἐπέδησεν *T* || 472 στόμα ] αὐτῶν *add. G Patr.* || 472 καὶ ] *om. T* || 473 ὅταν ] ὅτε *G* || 474 ἐφ᾽ ἡμᾶς ] *post* τούτου *transp. T* || 475–483 καὶ – τούτου ] *om. G* || 477 οὖν ] *om. Patr.* || 478 λανθανόντως ] ὄντως *Patr.* || 480 φησίν ] om. Patr. || 481 οὕτως ] οὕτω *Patr.* || 484 φατε ] ὑμεῖς *praem. T* || 484 καὶ παράνομος ] ἰουδαῖοι παράνομοι *G Patr.* || 488 **θ’.** μάθε ] καὶ add. G Patr.

ἐποίησεν οὕτως. Εἰ γὰρ ἐγένετο *ἐπ' αὐτοὺς καὶ ἐπὶ τὰ τέκνα* αὐτῶν, οὐκ ἂν ἀπὸ τῶν τέκνων αὐτῶν ἐγένοντο ἀπόστολοι, οὐκ ἂν ὁμοῦ τρισχίλιοι ἐπίστευσαν, οὐκ ἂν πεντακισχίλιοι[280]. Ὁρᾷς πῶς ἐκεῖνοι μὲν ὠμοὶ καὶ ἀπηνεῖς περὶ τὰ ἔκγονα καὶ τὴν φύσιν αὐτὴν ἠγνόησαν, ὁ δὲ Θεὸς πατέρων ἁπάντων φιλανθρωπότερος καὶ μητέρων φιλοστοργότερος; | Ἐγένετο μὲν γὰρ *τὸ αἷμα αὐτοῦ ἐπ' αὐτοὺς καὶ ἐπὶ* col. 111 *τὰ τέκνα* αὐτῶν[281]· ἐπὶ τὰ τέκνα δὲ οὐχὶ πάντα, ἀλλ' ἐπ' ἐκεῖνα τὰ μιμησάμενα τὴν πατρικὴν ἀσέβειαν. Καὶ ὅσοι ἦσαν αὐτοῖς υἱοὶ οὐ κατὰ τὴν τῆς φύσεως διαδοχήν, ἀλλὰ κατὰ τὴν τῆς προαιρέσεως μανίαν, οὗτοι γεγόνασιν ὑπεύθυνοι μόνοι τῶν κακῶν.

Σκόπει δέ μοι καὶ ἑτέρωθεν τὴν ἀγαθότητα τοῦ Θεοῦ. Οὐ γὰρ εὐθέως ἐπήγαγε τὴν τιμωρίαν, ἀλλὰ τεσσαράκοντα καὶ πλείονα ἔτη διέλιπε μετὰ τὸν σταυρόν. Αὐτὸς μὲν γὰρ ἐπὶ Τιβερίου ἐσταυρώθη, ἡ δὲ πόλις αὐτῶν ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου ἑάλω. Τίνος οὖν ἕνεκεν τὸν μετὰ ταῦτα τοῦτον χρόνον διέλιπεν; Βουλόμενος αὐτοῖς δοῦναι καιρὸν μετανοίας, ὥστε ἀποδύσασθαι τὰ πεπλημμελημένα, ὥστε ἀποκρούσασθαι τὰ ἐγκλήματα. Ἐπειδὴ δὲ καὶ λαβόντες προθεσμίαν ἔμενον ἀνιάτως ἔχοντες, ἐπήγαγε αὐτοῖς λοιπὸν τὴν τιμωρίαν καὶ τὴν κόλασιν, καὶ τὴν πόλιν καθελὼν ἐξήγαγεν αὐτοὺς πανταχοῦ τῆς οἰκουμένης καὶ τοῦτο διὰ φιλανθρωπίαν[282] ποιῶν. Διέσπειρε γὰρ αὐτούς, ἵνα πανταχοῦ προσκυνούμενον ἴδωσι τὸν ὑπ' αὐτῶν σταυρωθέντα, ἵνα ὁρῶντες αὐτὸν προσκυνούμενον καὶ μαθόντες αὐτοῦ τὴν δύναμιν ἐπιγνῶσι τῆς οἰκείας ἀσεβείας τὴν ὑπερβολὴν καὶ ἐπιγνόντες ἐπανέλθωσι πρὸς τὴν ἀλήθειαν[283]. Καὶ ἡ αἰχμαλωσία αὐτοῖς

---

[280] cf. Ac 2, 41 ; Ac 4, 4
[281] Mt 27, 25
[282] cf. Tt 3, 4
[283] cf. 1 Tm 2, 4

---

**[Ms. *Va V L (a l. 131,* ἐπιλέ]λησθε, *usque ad l. 185,* γέ[νηται, *et a l. 295,* οὐδέπω, *usque ad l. 349,* ἐ[κείνου*) Y Ha (usque ad l. 22,* προσχήματι, *et a l. 368,* ἀλλαχοῦ, *usque ad l. 427,* τελευτήσαντα*) T G K U (partim) C (partim) $P_3$ (partim)* ]** 490 οὕτως *Va V Y T G*] ἀλλὰ πρὸς τὸν πατέρα καθικετεύων λέγει· πάτερ ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν *add. K U Patr.* || 490 ἐγένετο ] τὸ αἷμα αὐτοῦ *add. K Patr.* || 490 ἐπ' αὐτοὺς ] ἐφ' ὑμᾶς *K* || 490 αὐτῶν ] ὑμῶν ὡς ὑμεῖς φατε οὐκ ἂν ἄλλως ἐξέβη *K* || 491 αὐτῶν ] ὑμῶν *K* || 491 ἀπόστολοι ] οἱ *praem. T* || 491 τρισχίλιοι ἐπίστευσαν *Y T G K* ] ἐπίστευσαν τρισχίλιοι *Va V* || 492 ὁρᾷς ] *iter. et exp. G* || 492 ἔκγονα ] αὐτῶν ὄντες *add. G Patr.* || 493 αὐτὴν ] αὐτῶν *T* || 494 μητέρων φιλοστοργότερος *Y T G* ] φιλοστοργότερος μητέρων *Va V,* γέγονεν *add. K U Patr.* || 495 τέκνα ] αὐτῶν *add. K* || 495 δὲ ] *post* ἐπὶ *transp. K* || 495 ἐπ' ] *om. Va V* || 495 ἐκεῖνα ] καὶ μόνον *add. G,* μόνον *add. Patr.* || 496 ἀσέβειαν ] καὶ παρανομίαν *add. G Patr.* || 498 μόνοι ] *post* οὗτοι *transp. G Patr.* || 499 ἀγαθότητα ] καὶ φιλανθρωπίαν *add. G Patr.* || 499 ἐπήγαγε ] ἐπ' αὐτοὺς τὴν κόλασιν καὶ *add. G Patr.* || 501 γὰρ ] ὁ σωτὴρ *add. G Patr.* || 503 ὥστε ἀποδύσασθαι τὰ πεπλημμελημένα ] *om. K* || 503 πεπλημμελημένα *Y T G* ] πλημμελήματα *Va V* || 504 λαβόντες ] *ante* ἔμενον *transp. G Patr.* || 504 προθεσμίαν ] μετανοίας *add. G Patr.* || 504 ἔμενον ] ἔμειναν *K* || 505 αὐτοῖς λοιπὸν *Y T K* ] αὐτοῖς *Va V,* λοιπὸν αὐτοῖς *G Patr.* || 505 τὴν τιμωρίαν καὶ τὴν κόλασιν ] τὴν κόλασιν καὶ τὴν τιμωρίαν *G Patr.* || 506 πανταχοῦ ] διασπείρας *praem. G Patr.* || 507 πανταχοῦ ] τῆς οἰκουμένης *add. G Patr.* || 508 σταυρωθέντα ] χριστὸν *add. G Patr.* || 508 προσκυνούμενον ] ὑπὸ πάντων *add. G Patr.* || 509 ἐπιγνῶσι ] ἐπιγνώσει *G* || 510 ἐπιγνόντες *Y T K* ] ἐπιγνῶντες *Va V G* || 510 καὶ ] λοιπὸν *add. G Patr.*

διδασκαλία ἐγίνετο καὶ ἡ τιμωρία νουθεσία· εἰ γὰρ ἔμενον ἐπὶ τῆς Ἰουδαίας, οὐκ ἂν ἔγνωσαν τῶν προφητῶν τὴν ἀλήθειαν. Τί γὰρ ἔλεγον οἱ προφῆται; « *Αἴτησαι παρ' ἐμοί, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς*[284]. » Ἔδει τοίνυν αὐτοὺς ἐξελθεῖν εἰς τὰ πέρατα τῆς γῆς, ἵνα ἴδωσιν ὅτι κατέχει τὰ πέρατα τῆς γῆς ὁ Χριστός. Πάλιν ἕτερος προφήτης· « *Καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ*[285]. » Ἔδει τοίνυν αὐτοὺς εἰς ἅπαντα διασπαρῆναι τόπον, | ἵνα ἴδωσιν *ἕκαστον ἐκ τοῦ τόπου αὐτοῦ προσκυνοῦντα αὐτόν*. col. 112 Πάλιν ἄλλος εἶπε· « *Πλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας*[286]. » Ἔδει τοίνυν αὐτοὺς εἰς τὴν γῆν ἅπασαν ἐλθεῖν, ὥστε ἰδεῖν αὐτὴν πεπληρωμένην τοῦ γνῶναι τὸν Κύριον καὶ τὰς *θαλάσσας*, τὰς πνευματικὰς ταύτας Ἐκκλησίας, τῆς θεοσεβείας μεμεστωμένας.

Διὰ ταῦτα αὐτοὺς πανταχοῦ διέσπειρεν· εἰ γὰρ ἐν Ἰουδαίᾳ ἐκάθηντο, ταῦτα ἂν ἠγνόησαν. Βούλεται τοίνυν αὐτοὺς καὶ τῆς τῶν προφητῶν ἀληθείας καὶ τῆς αὐτοῦ δυνάμεως ὄψεσι τὴν πεῖραν παραλαβεῖν, ἵνα, ἂν μὲν εὐγνωμονῶσι πρὸς τὴν ἀλήθειαν, διὰ τούτων χειραγωγηθῶσι πρὸς τὴν ἀλήθειαν, ἂν δὲ ἐπιμένωσι τῇ ἀσεβείᾳ, μηδεμίαν ἔχωσιν ἀπολογίαν ἐν τῇ φοβερᾷ τῆς κρίσεως ἡμέρᾳ. Διὰ τοῦτο διέσπειρεν αὐτοὺς πανταχοῦ τῆς οἰκουμένης, ἵνα καὶ ἡμεῖς ἐκ τούτου κερδάνωμέν ἐκείνας τὰς προρρήσεις ὁρῶντες τὰς περὶ τῆς διασπορᾶς αὐτῶν εἰρημένας τὰς περὶ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων, ἃς καὶ ὁ Δανιὴλ τοῦ βδελύγματος τῆς ἐρημώσεως μνησθεὶς[287] καὶ ὁ Μαλαχίας εἰπὼν ὅτι « *καὶ ἐν ὑμῖν συγκλεισθήσονται πύλαι*[288] », καὶ ὁ Δαυῒδ καὶ ὁ Ἡσαΐας καὶ ἕτεροι πολλοὶ προανεφώνησαν προφῆται, ἵνα ὁρῶντες τοὺς περὶ τὸν Δεσπότην ἀγνώμονας γεγενημέ-

[284] Ps 2, 8
[285] So 2, 11
[286] Ha 2, 14 ; Is 11, 9
[287] cf. Dn 9, 27 ; Mt 24, 15 (Dn 9, 27 *cit.*)
[288] Ml 1, 10

**[Ms. *Va V L (a l. 131,* ἐπιλέ]λησθε, *usque ad l. 185,* γέ[νηται, *et a l. 295,* οὐδέπω, *usque ad l. 349,* ἐ[κείνου*) Y Ha (usque ad l. 22,* προσχήματι, *et a l. 368,* ἀλλαχοῦ, *usque ad l. 427,* τελευτήσαντα*) T G K U (partim) C (partim) $P_3$ (partim)* ]** 511 ἐγίνετο *Y T G K* ] ἐγένετο *Va V* || 511 καὶ *V Y T G* ] *om. Va K* || 511 ἰουδαίας ] γῆς *add. G Patr.* || 512 γὰρ ] καὶ *G Patr.* || 513 ἐμοί *Va V Y G* ] ἐμοῦ *T* $K^{pc}$ (*al. man.*) *U Patr.* || 513 δώσω σοι ] δώσοι $K^{ac}$ (*corr. ead. man.*) || 515 ἴδωσιν ] οἰκείοις ὀφθαλμοῖς *add. G Patr.* || 515 κατέχει ] κατέχῃ $K^{ac}$ (*corr. al. man.*), *post* γῆς *transp. G Patr.* || 515 τὰ πέρατα ] καὶ *praem. G Patr.* || 515 πάλιν ] οὖν *add. G Patr.* || 515 ἕτερος ] ἕτερο* *T* || 515 προφήτης ] λέγει *add. G Patr.* || 516 αὐτῷ ] αὐτὸν *K* || 517 τόπον ] τῆς γῆς *add. G Patr.* || 517 ἴδωσιν ] οἰκείοις ὄμμασιν *add. G Patr.* || 517–518 προσκυνοῦντα αὐτόν ] *post* ἕκαστον *transp. K* || 519 κατακαλύψαι ] καλύψαι *G* || 519 τὴν γῆν ἅπασαν ] ἅπασαν τὴν γῆν *G Patr.* || 520 ἐλθεῖν ] ἀπελθεῖν *G Patr.* || 520–521 θαλάσσας ] τουτέστι *add. G Patr.* || 521 ἐκκλησίας ] τὰς *praem.* $K^{pc}$(*al. man.*) || 522 ταῦτα ] ταῦ** *Va* || 522 πανταχοῦ ] ὁ θεὸς *praem. et* τῆς γῆς *add. G Patr.* || 522 διέσπειρεν ] *post* ταῦτα *transp. G Patr.* || 523 βούλεται ] λοιπὸν *praem. G Patr.* || 523 τοίνυν ] *om. G Patr.* || 524 αὐτοῦ ] ἑαυτοῦ *G* || 524 ὄψεσι ] ἐπόψεσι *K,* αὐταῖς *praem. G Patr.* || 524 πεῖραν ] πεῖρα *Va* || 524 παραλαβεῖν ] λαβεῖν *G Patr.* || 524 ἂν ] ἐὰν *G Patr.* || 524–525 πρὸς τὴν ἀλήθειαν ] *om. G Patr.* || 525 ἂν *Va V Y K* ] ἐὰν *T G* || 526 διὰ ] καὶ *praem. G* || 528 κερδάνωμέν ] τι τουτέστιν *add. G Patr.* || 530 εἰπὼν ] εἶπον *T* || 531 ἡσαΐας ] ἰσαΐας *V* || 531–532 προανεφώνησαν ] περὶ τούτων *praem. G Patr.* || 532 προφῆται *Va V Y T* ] *post* πολλοὶ *transp. G Patr., ante* πολλοὶ *transp. K* || 532 ἵνα *Y T G* $K^{pc}$ *Patr.* ] ἵν' *Va V*

νους οὕτως κολαζομένους, δουλεύοντας, ἐκπεπτωκότας τῆς ἐλευθερίας τῆς πατρικῆς καὶ τῶν οἰκείων ἁπάντων, μάθωμεν αὐτοῦ τὴν δύναμιν τὴν καὶ προειποῦσαν αὐτὰ καὶ ἐργασαμένην, καὶ οἱ μὲν ἐχθροὶ διὰ τῶν ἡμετέρων ἀγαθῶν ἴδωσιν αὐτοῦ τὴν ἰσχύν· ἡμεῖς δὲ διὰ τῶν εἰς ἐκείνους τιμωριῶν μάθωμεν αὐτοῦ καὶ τὴν φιλανθρωπίαν καὶ τὴν δύναμιν, καὶ διὰ παντὸς δοξάζοντες αὐτὸν διατελῶμεν, ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

**[Ms. *Va V L (a l. 131,* ἐπιλέ]λησθε, *usque ad l. 185,* γέ[νηται, *et a l. 295,* οὐδέπω, *usque ad l. 349,* ἐ[κείνου*) Y Ha (usque ad l. 22,* προσχήματι, *et a l. 368,* ἀλλαχοῦ, *usque ad l. 427,* τελευτήσαντα*) T G K U (partim) C (partim)* $P_3$ *(partim)*]** 533 οὕτως *Va V Y T G* ] οὕτω *K U Patr.* || 533 δουλεύοντας ] *om. Patr.* || 534 καὶ *Y T G K* ] *om. Va V* || 534 ἁπάντων ] θεσμῶν τε καὶ πατρικῶν παραδόσεων *add. G Patr.* || 534 μάθωμεν ] μάθομεν *G* || 534 τὴν καὶ *Y T G K* ] καὶ τὴν *Va V* || 536 καὶ ] *om. G Patr.* || 537 φιλανθρωπίαν ] ἄφατον *praem. G Patr.* || 537 τὴν ] *om. G Patr.* || 537 αὐτὸν ] αὐτῷ *K* || 538 ὅτι – κράτος *Va V Y T* ] ὅπως καὶ τῶν αἰωνίων καὶ ἀπορρήτων ἀγαθῶν ἐπιτύχωμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ μεθ’ οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι τιμὴ καὶ κράτος *G Patr.*, ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις καὶ ἡ βασιλεία σὺν τῷ ἀνάρχῳ πατρὶ τῷ μονογενεῖ υἱῷ (τῷ μονογ. υἱῷ *eras. ead. man.*) ἅμα τῷ ζωοποιῷ καὶ παναγίῳ πνεύματι *K* || 538 νῦν καὶ ἀεὶ καὶ *Y T G* ] *om. Va V K*

## Les homélies de Jean Chrysostome *In principium Actorum* (*CPG* 4371) : projet d'édition critique, traduction et commentaire

Résumé

Les quatre homélies de Jean Chrysostome *In principium Actorum* trouvent leur origine à Antioche entre les années 386 et 397. Elles sont prévues pour la période suivant la fête de Pâques ; le prédicateur s'adresse en particulier aux nouveaux baptisés et il cherche à introduire ses auditeurs à la lecture du livre des Actes des apôtres qui leur est peu familier. Ces textes portent sur l'importance des titres (première homélie), sur le terme « actes » (deuxième homélie), sur le terme « apôtres » (troisième homélie) et sur la raison de la lecture du livre des Actes juste après la fête de Pâques, et non après la fête de la Pentecôte (quatrième homélie). Une homélie sur l'auteur du livre des Actes, aujourd'hui perdue, s'insérait entre le premier et le deuxième texte. On montre que ces homélies forment une « micro-série » ouverte, en lien étroit avec d'autres homélies (*De mutatione nominum* 1-4, *In Genesim sermo* 9, *In illud : Si esurierit inimicus*). L'examen de la tradition manuscrite directe, la prise en compte de la tradition indirecte (*eclogae*, florilèges, chaîne sur les Actes, tradition arménienne, *encomium* pour la fête de saint Paul, témoignage dans la littérature byzantine) et l'analyse des premières éditions anciennes permettent de reconstituer l'histoire de ces quatre textes en vue d'une édition critique et de confirmer la cohérence de ce corpus malgré une transmission parfois éclatée. On propose une nouvelle édition des homélies *In principium Actorum* en la fondant sur des rameaux plus sûrs de la tradition manuscrite grecque. On donne ensuite une nouvelle traduction française des quatre homélies et on présente trois pistes de commentaire. Tout d'abord, la méthode adoptée par le prédicateur pour introduire à la lecture du livre des Actes a des conséquences sur l'exégèse des exemples bibliques choisis : on en montre quelques-unes tout en questionnant la proximité avec un éventuel commentaire suivi et avec des textes d'autres auteurs grecs (Didyme l'Aveugle, notamment). On met en avant l'importance de la mission dans ces homélies : enraciné dans la fête de Pâques, l'appel à la mission permet de créer un lien étroit entre le prédicateur, ses auditeurs et les absents. Ce dernier point mène pour finir à l'étude des visées apologétiques de ces textes : la conversion passe par un retournement de sens et elle se traduit par un changement irréversible de mode de vie, qui doit imiter non seulement celui de Paul mais aussi celui d'autres figures bibliques et du Christ lui-même.

**Mots-clés** : Jean Chrysostome ; exégèse ; patristique ; théologie ; Nouveau Testament ; tradition manuscrite

## John Chrysostom's homilies *In principium Actorum* (*CPG* 4371): a critical edition in project with a French translation and a commentary

Summary

The four homilies *In principium Actorum* originate in the Antiochene period of John Chrysostom's priesthood (386-397). Their liturgical frame is Easter time; the preacher is speaking especially to neophytes and aims at introducing his listeners to the book of the Acts of the Apostles, which they are not familiar with. In these texts the preacher explains the importance of titles (first homily), the word "Acts" (second homily), the word "Apostles" (third homily) and the reasons why this book is read just after Easter, and not after Pentecost (fourth homily). There used to be another homily about the author of the book of the Acts, which is now missing, between the first and the second homily. These homilies form an open "micro-series" which is strongly linked to other homilies (*De mutatione nominum* 1-4, *In Genesim sermo* 9, *In illud: Si esurierit inimicus*). The study of the direct manuscript tradition, the account of the indirect tradition (*eclogae*, anthologies, *catena in Acta Apostolorum*, Armenian tradition, *encomium* for the feast of saint Paul, testimony in Byzantine literature) as well as the analysis of the first editions make it possible to reconstruct the history of these four texts in preparation for their critical edition. It also confirms the coherence of the corpus, although the homilies have not always been transmitted together. The dissertation presents a new edition of the homilies *In principium Actorum* which is based on more reliable parts of the Greek tradition. A new French translation of the four homilies is also given. The commentary explores three important aspects. First, the preacher's method of introducing the Acts has consequences on the exegesis of the chosen biblical examples: the dissertation shows some of those consequences and questions the proximity to a continuous commentary and to texts from other authors (for instance Didymus the Blind). The importance of the mission in those homilies is then put forward: rooted in the feast of Easter, the call to mission creates a strong relationship between preacher, listeners and absentees. This last point leads to the apologetical aims of the texts: conversion is due to a shift in meaning and results in a complete change of lifestyle, which should imitate Paul's but also the way of life of other biblical figures and of Christ himself.

**Keywords** : John Chrysostom ; exegesis ; patristics ; theology ; New Testament ; manuscript tradition